Ad hos accesserunt annis novissimis praeter *Hartungum*, qui omnia Pindari carmina una cum perditorum poematum reliquiis quatuor voluminibus Lipsiae 1855—6 edidit, *C. Friedrichs*, qui cum iam ante de compluribus Pindari locis in Philologo Gottingensi passim disputavisset, haec retractavit et auxit in peculiari libello (qui inscriptus est: Pindarische Studien. Berol. 1863); *Tycho Mommsen*, qui Scholiis Germani in Olympia una cum epistolarum criticarum triade editis (Kiloniae 1861), deinde in epistola critica ad Friedrichsium (Oldenb. 1863) et in quaestionibus, quibus de Pindari dialecto inchoavit (in Jahnii Annal. Vol. LXXXIII p. 40 seq.), permulta subsidia ad Pindaricorum carminum emendationem suppeditavit; *Leop. Schmidt*, qui librum satis amplum de Pindari vita et scriptis (Bonnae 1862) edidit. Nec defuerunt alii, qui in diariis philologicis Pindari carminibus criticam operam navarent, velut *L. Ahrens* (Philol. XVI p. 52 seq.), *Goram*, qui in commentatione de Pindari translationibus et imaginibus (in Philologo XIV) passim locos difficiles coniecturis tentavit; *Ernestus de Leutsch*, qui et in Philologo et in commentationibus academicis identidem de Pindaro disputavit; denique *R. Rauchenstein* non destitit haec poemata passim vel illustrare vel divinando in integrum restituere (vide inprimis Jahnii Annal. LXXVII p. 240 sq. p. 385 sqq. et Philol. XIII).

ΟΛΥΜΠΙΟΝΙΚΑΙ Α.

ΙΕΡΩΝΙ ΣΥΡΑΚΟΣΙΩι

ΚΕΛΗΤΙ.

Strophae.



Epodi.



Epodi v. 6 et 7 distinxi, quemadmodum etiam Mommsenus; coniunxit Boeckhius: numeros autem versuum non mutavi.

Στρ. α'.

Ἄριστον μὲν ὕδωρ, ὁ δὲ χρυσὸς αἰθόμενον πῦρ
ἅτε διαπρέπει νυκτὶ μεγάνορος ἔξοχα πλούτου·
εἰ δ' ἄεθλα γαρύειν
ἔλδεαι, φίλον ἦτορ,
μηκέτ' ἀελίου σκόπει
ἄλλο θαλπνότερον ἐν ἁμέρᾳ φαεννὸν ἄστρον ἐρήμας δι' αἰθέρος,
μηδ' Ὀλυμπίας ἀγῶνα φέρτερον αὐδάσομεν·
ὅθεν ὁ πολύφατος ὕμνος ἀμφιβάλλεται
σοφῶν μητίεσσι, κελαδεῖν
Κρόνου παῖδ' ἐς ἀφνεὰν ἱκομένοις
μάκαιραν Ἱέρωνος ἑστίαν,

Ἀντ. α'.

θεμιστεῖον ὃς ἀμφέπει σκᾶπτον ἐν πολυμάλῳ
Σικελίᾳ, δρέπων μὲν κορυφὰς ἀρετᾶν ἄπο πασᾶν,
ἀγλαΐζεται δὲ καὶ
μουσικᾶς ἐν ἀώτῳ,
οἷα παίζομεν φίλαν
ἄνδρες ἀμφὶ θαμὰ τράπεξαν. ἀλλὰ Δωρίαν ἀπὸ φόρμιγγα πασσάλου
λάμβαν', εἴ τί τοι Πίσας τε καὶ Φερενίκου χάρις
νόον ὑπὸ γλυκυτάταις ἔθηκε φροντίσιν,

V. 3. *γαρύειν*, Hartung contra librorum auctoritatem *γαρύειν*. — V. 5. *μηκέτ' ἀελίου* APcVabdfW1V1, *μηκέθ' ἁλίου* vulgo. — V. 6. *φαεννὸν* Vf, *φαενὸν* W1, vulgo *φαεινὸν*. — V. 10. *ἱκομένοις* GPabBαMb AabHVa, *ἱκομένους* ARW1MaGuPc (suprascr.) Va1 Vabeg G in m. M2, *ἱκόμενοι* P1 ceteri; omnes has lect. exhibent schol. recentiores, sed schol. vet. tantum *ἱκομένους* agnoscunt, hoc autem nonnulli critici loco nominativi dictum esse opinabantur, iungentes *αὐδάσομεν*, *ὅθεν .... κελαδεῖν Κρόνου παῖδ'*, *ἐς ἀφνεὰν ἱκομένους*, videtur igitur *ἱκόμενοι* tantum emendatio esse: ex melioribus libris, quos Mommsen contulit, plurimi *ἱκομένους* testantur, tamen servavi *ἱκομένοις*, nam fort. Pindarus hic aeolica accusativi forma usus est, vid. ad Ol. V 6. — V. 12. *πολυμάλῳ*, Ahrens *πολυμήλῳ*. — V. 15. *μουσικᾶς* etiam Athen. I 3 B. Pindarus si *ΜΟΣΙΚΑΣ* scripsit, lectio ambigua: poterat *μουσικᾶς* adhibere, quandoquidem *μοῦσα* Syracusanorum fuit, vid. Cram. An. Ox. I 278. Boeoti quam formam usurpaverint, ignoramus, nam quod apud illum grammaticum legitur *τὸ Βοιωτικὸν μουσάων*, ad clausulam tantum spectat: quod ibidem Rheginis tribuitur *μοῦσα* et deinde *μοισᾶν*, non est *μόνσα* et *μονσᾶν* cum Ahrensio Dor. p. 106 scribendum, neque ad Argivos transferendum, sed videtur Rhegini *Μωῦσα* dixisse, antiquitatis ceteris tenaciores, nam descendit Musarum nomen a Lydorum voce *μωῦς* (Hesych. *μωῦς, ἡ γῆ, Λυδοί*, ubi *πηγὴ* scribendum) sive *μῶϋ* (Hes. *μῶϋ· τὸ ὕδωρ.*) — V. 17. *θαμά*, ambigas utrum sit *θαμάκις*, *saepe*, an *ὁμοῦ*, *simul*, tunc enim potius *θάμα* scribendum, vid. ad Ol. VII 12.

ὅτε παρ' Ἀλφεῷ σύτο δέμας
ἀκέντητον ἐν δρόμοισι παρέχων,
κράτει δὲ προσέμιξε δεσπόταν,

Ἐπ. α'.

Συρακόσιον ἱπποχάρμαν βασιλῆα· λάμπει δέ οἱ κλέος
ἐν εὐάνορι Λυδοῦ Πέλοπος ἀποικίᾳ·
τοῦ μεγασθενὴς ἐράσσατο Γαιάοχος
Ποσειδᾶν, ἐπεί νιν καθαροῦ λέβητος ἔξελε Κλωθώ,
ἐλέφαντι φαίδιμον ὦμον κεκαδμένον.
ἦ θαυματὰ πολλὰ καί που τι καὶ βροτῶν
φάτις ὑπὲρ τὸν ἀλαθῆ λόγον
δεδαιδαλμένοι ψεύδεσι ποικίλοις ἐξαπατῶντι μῦθοι.

V. 22. Hermann interpunctionem post *δεσπόταν* sustulit, non rectę. — V. 23. schol. memorat lect. *Συρακουσίων ἱπποχαρμᾶν*, et M2 Pc *συρακοσίων ἱπποχάρμᾶν*, W1 *Συρακουσίων ἱππιοχάρμαν*, unde olim *Συρακόσιον ἱπποχαρμᾶν* scripsi, Kayser ipsam illam lec. tuetur, ceteris epodis mutatis.— V. 24. *ἐν* W1Vb, om. PcP1M2Va1 schol., vulgo *παρ'*. Gramm. Harlej. post Hephaest. p. 330 (ed. 2 Gaisf.) *ἀν'*.— ib.schol. *εὐάνορος* (et sic M2P1 supra) et *ἐποικίᾳ*, hoc requirit Hecker.—V. 28. *θαυματὰ* G in m. W1 corr. schol. et agnoscit Eustath. Il. 400. 30. Od. 1796. 2. Io. Diac. ad Hes. Scut. 154, *θαύματα* P1 G in m. Ve, *θαῦμα τὰ* M12 ceteri. — *φάτις* APcP1W1M2Vab Gramm. Harlei. 333 schol., qui addit *ἔνιοι δὲ φάτιν ἀντὶ τοῦ φρένας τῶν ἀνθρώπων ἀπατῶσιν οἱ ψευδεῖς λόγοι*, unde *φρένας* GVa2 ceteri interpolati. Igitur sola lectio *φάτις* fidem habet, quae lectio cum non iniuria displiceret veteribus criticis, *φάτιν* substituerunt, quod cum more suo libere interpretati essent *τὰς φρένας*, hoc usi sunt Byzantini, ut *φρένας* audacter substituerent; hoc invento rursus nixus Hartung *βροτῶν φρασὶν* correxit. Friederichs *φάτιν* probat, Mommsen *φάτις*, non ut vulgo nominativum singularis n., sed accusativum pluralis (*φάτιας*) interpretatus; at non ostendit exemplis aut grammaticorum auctoritate has formas unquam correptas esse: (nam nihil moror epigramma Parmenionis Anth. Pal. IX 113, ubi et *οἱ κόρις* et *τοὺς κόρις* dactyli vice fungitur, ubi Jacobs similia ex Manethone, Orac. Sibyll., Gregor. Nazianz. attulit: at neque Theocritus *ὄϊς* neque Nicander *ἔχις* cum corripiunt a lege recedunt, nam sunt nominativi singularis numeri.) itaque iam hoc nomine repudianda est illa interpretatio: omnino autem nec Mommseni nec Friederichsii ratio, qui accusativum desiderant, ferri potest: neque enim figmenta suavia hominum famam decipiunt, sed ipsos homines vel hominum mentes. Neque tamen vitii immunis est antiqua lectio: nam quod post *φάτις* infertur *μῦθοι* plane otiosum et languidum est, sufficiebat omni ex parte *καί που τι καὶ βροτῶν φάτις ὑπὲρ τὸν ἀλαθῆ λόγον δεδαιδαλμένα ψεύδεσι ποικίλοις ἐξαπατᾷ*, poeta si quid voluisset addere, debebat eos, qui decipiantur, plane dicere. Hic quoque antiquae scripturae ignorantia offecit: scribendum enim: *καί που τι καὶ βροτῶν λόγον ὕπερ τὸν ἀλαθῆ φάτις δεδαιδαλμένῳ ψεύδεσι ποικίλοις ἐξαπατῶντι μύθῳ*. h. e. saepe etiam hominum fama (sive *fabulae*) sermone speciosis mendaciis supra veritatem exornato fallit: poetas enim culpat, qui antiquam famam non ut populi ore fertur memoriae produnt, sed suopte ingenio figmentis exornant et amplificant. Librarii antiqui, cum dativum *δεδαιδαλμένῳ μύθῳ* exhibere debuissent, retinuerunt antiquam scripturam, quoniam iis *φάτις* videbatur singulari-

Στρ. β'.

χάρις δ', ἅπερ ἅπαντα τεύχει τὰ μείλιχα θνατοῖς,
ἐπιφέροισα τιμὰν καὶ ἄπιστον ἐμήσατο πιστόν
ἔμμεναι τοπολλάκις·
ἀμέραι δ' ἐπίλοιποι
μάρτυρες σοφώτατοι.
ἔστι δ' ἀνδρὶ φάμεν ἐοικὸς ἀμφὶ δαιμόνων καλά· μείων γὰρ αἰτία.
υἱὲ Ταντάλου, σὲ δ' ἀντία προτέρων φθέγξομαι,
ὁπότ' ἐκάλεσε πατὴρ τὸν εὐνομώτατον
ἐς ἔρανον φίλαν τε Σίπυλον,
ἀμοιβαῖα θεοῖσι δεῖπνα παρέχων,
τότ' Ἀγλαοτρίαιναν ἁρπάσαι

Ἀντ. β'.

δαμέντα φρένας ἱμέρῳ, χρυσέαισιν ἀν' ἵπποις
ὕπατον εὐρυτίμου ποτὶ δῶμα Διὸς μεταβᾶσαι·
ἔνθα δευτέρῳ χρόνῳ
ἦλθε καὶ Γανυμήδης
Ζηνὶ τῶὖτ' ἐπὶ χρέος.
ὡς δ' ἄφαντος ἔπελες, οὐδὲ ματρὶ πολλὰ μαιόμενοι φῶτες ἄγαγον,
ἔννεπε κρυφᾷ τις αὐτίκα φθονερῶν γειτόνων,
ὕδατος ὅτι σε πυρὶ ξέοισαν ἀμφ' ἀκμάν

ter dictum esse; at est pluralis: contractionem nominativi improbare videtur G. Curtius in Kuhnii diario I 258, at testantur veteres grammatici, velut Apoll. de pron. 380 B, schol. Il. VI 10. Gregor. Cor. 475, neque recte agunt, qui exempla huius contractionis Herodoto abiudicant. Deinde autem ut solet corruptio latius serpere, ut hyperbaton removerent verba traiecerunt in hunc modum *βροτῶν φάτις ὑπὲρ τὸν ἀλαθῆ λόγον*. — *ἀλαθῆ* Boeckh, v. *ἀληθῆ*. — V. 34. *σοφώτατοι*, Hecker *σαφέστατοι*. — V. 37. *τὸν εὐνομώτατον ἐς* ARLabP1GuVbdfgBcadMaW12Aab, et praeterea PcLVc nisi quod *εἰς*, GVa1 om. *ἐς*, contra *ἐς εὐνομώτατον ἔρανον* (*ἔραννον*) G in m. ceteri. Hermann *ἐς εὐνομώτατον ἔρανον ἐς* vel *τὸν ἔρανον*. Possis *τὸν εὐνομώτατον ἔρανον ἐς φίλαν τε*. Hartung *ἐπ' εὐνομώτατον ἔρανον ἐς φ*. Respicit huc Aristid. XV. T. I 372 ed. Dind. *οὕτω δ' ἦν ἐξ ἀρχῆς θεοφιλής, ὥστε λέγουσιν οἱ ποιηταὶ τοὺς θεοὺς ἅμα τοῖς ἥρωσιν ἐρανίζειν εἰς αὐτὴν ἀναμὶξ εὐωχουμένους*. — V. 41. *χρυσέαισιν ἀν' ἵπποις* affert Schol. Il. Ξ, 351. Ceterum PcM2 *χρυσέαισι κἀν ἵπποις*, E. Schmid *χρυσέαισί τ' ἀν' ἵπποις*, Hartung *χρυσέαισιν ἀν' ἵπποις θ'*, mihi vero pro *μεταβᾶσαι* potius *μεταβάσαντ'* vel etiam *μεταβάσαις* videtur scribendum esse, ut poeta anacoluthia usus nominandi casum post accusativum intulerit. — V. 43. *δευτέρῳ*, Hecker *δεύτερος*. — V. 47. *κρυφᾷ*, legebatur *κρυφᾶ*. — V. 48. *σε* scripsi, v. *τε*. cf. Aristid. I 442: *οἶσθ' ὅτι φασὶν οἱ ποιηταὶ τὸν Πέλοπα κατὰ μέλη τμηθέντα ἑψηθέντα ἐν λέβητι συντεθῆναι πάλιν ἐξ ἀρχῆς*. contra Hermann v. 49 *τάμον κάτα μέλη*. Emendationem meam recepit Hartung, frustra

μαχαίρᾳ τάμον κατὰ μέλη,
τραπέξαισί τ' ἀμφὶ δεύτατα κρεῶν
σέθεν διεδάσαντο καὶ φάγον.

Ἐπ. β'.

ἐμοὶ δ' ἄπορα γαστρίμαργον μακάρων τιν' εἰπεῖν· ἀφίσταμαι·
ἀκέρδεια λέλογχεν θαμινὰ κακαγόρους.
εἰ δὲ δή τιν' ἄνδρα θνατὸν Ὀλύμπου σκοποὶ
ἐτίμασαν, ἦν Τάνταλος οὗτος· ἀλλὰ γὰρ καταπέψαι
μέγαν ὄλβον οὐκ ἐδυνάσθη, κόρῳ δ' ἔλεν
ἄταν ὑπέροπλον, ἅν οἱ πατὴρ ὕπερ
κρέμασε καρτερὸν αὐτῷ λίθον,
τὸν αἰεὶ μενοινῶν κεφαλᾶς βαλεῖν εὐφροσύνας ἀλᾶται.

Στρ. γ'.

ἔχει δ' ἀπάλαμον βίον τοῦτον ἐμπεδόμοχθον,
μετὰ τριῶν τέταρτον πόνον, ἀθανάτων ὅτι κλέψαις
ἁλίκεσσι συμπόταις
νέκταρ ἀμβροσίαν τε
δῶκεν, οἷσιν ἄφθιτον
ἔθεσαν. εἰ δὲ θεὸν ἀνήρ τις ἔλπεταί τι λαθέμεν ἔρδων,
ἁμαρτάνει.

impugnat Friederichs. — *πυρὶ ζέοισαν*, glossae cod. Vrat. *περιζέοισαν* videntur prodere, sed *πυρὶ* tuetur lemma sch. Vrat. — *ἀμφ', ἐπ'* schol. APcGP1W1Vbdfg M2, hinc Mommsen *εἰς* coniecit, sed praepositio *ἐπὶ* in Pindari libris haud raro in locum praep. *ἀμφὶ* substituta. Fortasse gravius vitium delitescit, quamquam *εἰς* per se commodum est, vid. Keil Anal. Epigr. 30. — V. 50. *τ'*, Athen. XIV 641 C *δ'*, om. M2. — *δεύτατα* schol. APbcBcγGMaW12 Veneti sex, *ἀμφιδεύτατα* RMbBαβd, *ἀμφιδεύτα* Va1, *ἄμφιδεύματα* P1, *ἀμφὶ δεύματα* Vg probante Boeckhio. Athenaei codd. ABP *δευρα* i. e. *δεύτερα*, sed VL *δεύτατα*. Hartung *ἀμφὶ δαιτρὰ* scripsit. — V. 52. *ἄπορα, ἄπορον* APacGGuVbdfgW1M2P1Aa et Athen. (sed ibi BP *ἄπορον* α). — V. 53. *κακαγόρους* PaP1Vf, *κακαγόρος* APbW1 Schol., quod cum ex antiqua scriptura forte esset servatum (et servandum censet Boeckh, cf. Schol. Theocr. V 84), ortus inde error Pc *ἀκέρδειαν λ. θ. κακάγορος*. Contra MaBGβγ *κακαγόρως*, alii *κακηγόρως*, *κακηγόρους*. — V. 57. *ἂν* Hermann, libri *τὰν*. Hartung maluit scribere *ἄταν ὑπέροπλόν οἱ, τὰν πατὴρ*, existimans ita facili negotio removeri offensionem, quam praebet proximo versu *αὐτῷ* post *οἱ* illatum, sed non cogitavit ista verborum traiectione versus numerum pessumdari. — *ὕπερ κρέμασε* M1, vulgo *ὑπερκρέμασε*. — V. 58. *καρτερὸν αὐτῷ*, puto scribendum esse *ἀάτῳ* sive *ἄτῳ*, Hecker *καρτερόνωτον* coniecit. — V. 60. *κλέψαις* unus cod. ap. Moms., ceteri *κλέψας*. — V. 64. *ἔθεσαν* AM2Pc, *θέσαν* A1GMb Bodl. tres, *θέσαν αὐτὸν* W1M2, vulgo *θέσσαν* forma suspecta, sed *ἔθεσαν* quoque propter numerum incommodum; nam solutio, quamvis per se haud improbanda, abest a ceteris strophis: neque tamen placet quod ego olim et Ahrens proposuimus *θῆσαν* i. e. *ἔθρεψαν*, *nutriverunt*, neque *κτίσσαν*, quod Schneidewin commendat, probabile: Hartung *οἷσιν ἀφθίτους θῆκεν*, Mommsen *ἄφθιτον θέν νιν*

τοὔνεκα προῆκαν υἱὸν ἀθάνατοί οἱ πάλιν
μετὰ τὸ ταχύποτμον αὖτις ἀνέρων ἔθνος.
πρὸς εὐάνθεμον δ' ὅτε φυὰν
λάχναι νιν μέλαν γένειον ἔρεφον,
ἑτοῖμον ἀνεφρόντισεν γάμον

Ἀντ. γ'.

Πισάτα παρὰ πατρὸς εὔδοξον Ἱπποδάμειαν
σχεθέμεν. ἐγγὺς ἐλθὼν πολιᾶς ἁλὸς οἷος ἐν ὄρφνᾳ
ἄπυεν βαρύκτυπον
Εὐτρίαιναν· ὁ δ' αὐτῷ
πὰρ ποδὶ σχεδὸν φάνη.
τῷ μὲν εἶπε· Φίλια δῶρα Κυπρίας ἄγ' εἴ τι, Ποσείδαον,
ἐς χάριν
τέλλεται, πέδασον ἔγχος Οἰνομάου χάλκεον,
ἐμὲ δ' ἐπὶ ταχυτάτων πόρευσον ἁρμάτων
ἐς Ἅλιν, κράτει δὲ πέλασον.
ἐπεὶ τρεῖς τε καὶ δέκ' ἄνδρας ὀλέσαις

satis invenuste: quod in plurimis antiquorum librorum *αὐτόν* reperit, manifestum est additamentum, non ut Mommsen putat interpretamentum: neque enim solent *νιν* vel *μιν* quod sexcenties legitur explicare, sed obiectum ubi deest supplent, atque glossae cod. Vrat. plane exhibent *ἐποίησαν δηλονότι αὐτόν*. Accusativum qui desiderat, potest facile restituere, *οἷς νιν* pro *οἷσιν* scribens. — *τι* om. PcW1 et ut Momms. refert omnes antiqui libri, nec agnoscunt glossae Vrat., in quibus *πράττων τι* supra *ἔρδων* scriptum. — *λαθέμεν* GW1P1PcAbMaVa1A, *λασέμεν* ceteri, atque etiam gloss. Vrat. *λήσειν*, quod fortasse praeferendum. M2 ut videtur *ληθέμεναι*. Mommsen *λελαθέμεν* proposuit; quod si *λελαθεῖν* interpretatur, metro repugnat, sed voluit fortasse *λελῃθέναι* esse. — *ἔρδων* MbLaAaW1. Hoc an *ἔρδων* in Pindaro praeferendum sit, difficile diiudices. — V. 65. *οἱ* Schol. ALaP1M2Va1 Veneti quinque collocant post *τοὔνεκα*, W1 utroque loco exhibet. — V. 66. *αὖτις* W1, vulgo *αὖθις*. — V. 71. *ἐγγὺς* scripsi, *ἐγγὺς δ'* W1M2Pc Schol., vulgo *ἄγχι δ'*. — V. 73. *Εὐτρίαιναν*, *εὐρυτρίαιναν* PcW1M2, utrumque glossae Vratisl. — V. 74. *παρ ποδὶ* W1P1AbPcVbdfM2 et codd. Gregor. Cor. p. 208., *παρ ποσὶ* ceteri. — V. 75. *εἶπε*, M2Va1 Schol. *ἔειπε*, videtur antiqua corruptela fuisse *τὸ μὲν εἶπε*, unde in aliis *τῷ δ' ἔειπε* (*εἶπε*) legitur. — V. 76. *ἔγχος*. Schol. *Ἀμμώνιος ἔγχος Οἰνομάου τὸ ἅρμα ἤκουσεν*, qui videtur *ἔντος* scripsisse, sed nihil novandum. — V. 79. *τε* Schol. BdAbW12LabVcGu et Schol. Lyc. 156. Greg. Cor. 210, om. Va1Pc, vulgo *γε*. — *ὀλέσαις* cod. Vict. Va2 et Greg. Cor., vulgo *ὀλέσας*. Confer quae Mommsen dixit de his formis in Jahnii Annal. LXXXIII 40 seqq. Existimat autem Mommsen, Pindarum cum Aeolicam formam constanter usurpaverit, tamen si liquida littera praecedat, vulgarem clausulam *ας* servavisse; exempla liquidae antecedentis admodum pauca sunt, quinque vel sex, neque iustam video rationem: quod si Pindarus in verbis, quorum stirps liquida terminatur, participii novissimam syllabam correptam protulisset, hoc discrimen planum foret; nam etiam nomina, quae cadunt in *α* (*η*), fere solent corripi, ubi liquida praecedit; at etiam horum participiorum extrema vocalis aut longa aut incerta est,

μναστῆρας ἀναβάλλεται γάμον

Ἐπ. γ'.

θυγατρός. ὁ μέγας δὲ κίνδυνος ἄναλκιν οὐ φῶτα λαμβάνει.
θανεῖν δ' οἷσιν ἀνάγκα, τί κέ τις ἀνώνυμον
γῆρας ἐν σκότῳ καθήμενος ἕψοι μάταν,
ἀπάντων καλῶν ἄμμορος; ἀλλ' ἐμοὶ μὲν οὗτος ἄεθλος
ὑποκείσεται· τὺ δὲ πρᾶξιν φίλαν δίδοι.
ὡς ἔννεπεν· οὐδ' ἀκράντοις ἐφάψατο
ἔπεσι. τὸν μὲν ἀγάλλων θεός
ἔδωκεν δίφρον τε χρύσεον πτεροῖσίν τ' ἀκάμαντας ἵππους.

Στρ. δ'.

ἔλεν δ' Οἰνομάου βίαν παρθένον τε σύνευνον·
τέκε τε λαγέτας ἐξ ἀρεταῖσι μεμαλότας υἱούς.
νῦν δ' ἐν αἱμακουρίαις
ἀγλααῖσι μέμικται,
Ἀλφεοῦ πόρῳ κλιθείς,
τύμβον ἀμφίπολον ἔχων πολυξενωτάτῳ παρὰ βωμῷ· τὸ δὲ
κλέος

nullus extat locus, qui brevem syllabam requirat. Neque inscriptiones hoc discrimen confirmant, siquidem in titulo Lesbio apud Conzium extat ἀπο(στέ)λλαις, nam ἐπικρίναις incertum est. Fatendum tamen est Aeolicam clausulam etiam abesse a participio βάς et iis quae inde descendunt. — V. 80. μναστῆρας W1Pb, μνηστῆρας PcPaAbVdfGM2Va1A Gregor. Sch. Lyc., ἐρῶντας ceteri, quemadmodum etiam ap. Philostr. Im. I 30 Ἱπποδαμείας ἐρῶντας et μνηστῆρας variant libri. Producta syllaba cum offendat, fort. leg. ματῆρας, non dissimile est Homericum Il. IX 394 γυναῖκά γε μάσσεται. — V. 82. τί, Greg. p. 212 τά, quod τί esse dicit, et sic W1 a pr. m. — V. 84. οὗτος ἄεθλος ACLipAabGVbcdfgP1 GuLabW12BαdVa1, vulgo οὗτοσὶ ἄθλός γ'. — V. 85. ὑποκείσεται, Hecker ἐπικείσεται. — V. 86. ἐφάψατο Pc et W1 a m. pr., vulgo ἐφάψατ' ὤν. M1 ἀκράντων ἐφάψατ' ἔπεσι. Deleta igitur particula cum Mommseno hunc versum in duos descripsi. — ἔπεσι ABdαPabW2AbLa GuVbcdg, vulgo ἔπεσσι. — V. 87. δίφρον τε χρύσεον PcW1P1Vbf, vulgo δίφρον χρύσεον ἔν, sed ἐν om. M2GVdAb. — V. 88. τε, Ab δέ. — V. 89. τέκε τε BcβγMbVe cod. Canteri, τέκε δὲ, PabVcgHGuM156, ἃ τέκε Schol. ARP1PcAbMaW1Bγ in m. VabdfM2Va1. Fort. ἑλὼν δ' ... ἔτεκε (vel τέκετο), Mommsen videtur illud ipsum ἃ τέκε commendare, ut Aeolensium more ἃ corripiatur, cuius licentiae tenue vestigium mihi alibi reperisse videor. — μεμαλότας M1 ut vulgo, M2 μαιμαότας, μεμαότας Schol. W1PcP1VbdBβ in m. Va1Ab, μεμαῶτας GVf. Vulgatam μεμαλότας ego revocavi, quam etiam glossae cod. Vrat. exhibent ταῖς ἀνδρὶ προσηκούσαις, ἤγουν φροντίδα ποιουμέναις (l. ποιουμένους) τῶν ἀρετῶν· ἀντιστρόφως ἀντὶ τοῦ οἷς ἀνδραγαθίαι ἦσαν καὶ (del.) φροντίδες. cf. Epigr. in Ephem. Archaeol. 3408: τᾶς μελέτας ἄνθημα διάκτορον ἐνθάδε κεδνοὶ θέντο παλαιστρίταν ἠΐθεοι φύλακα ἔ(ργμ)ασιν εὐτάκτοισι μεμαλότες ἄκρον ἔφηβοι καὶ φιλί(α) Χαρίτων τ' ἄμμιγ' ὁμοφροσύνᾳ. Hartung scripsit τεθαλότας, quod Schneidewin dubitanter proposuit. —

τηλόθεν δέδορκε τᾶν Ὀλυμπιάδων ἐν δρόμοις,
Πέλοπος, ἵνα ταχυτὰς ποδῶν ἐρίζεται
ἀκμαί τ' ἰσχύος θρασύπονοι·
ὁ νικῶν δὲ λοιπὸν ἀμφὶ βίοτον
ἔχει μελιτόεσσαν εὐδίαν Ἀντ. δ'.
ἀέθλων γ' ἕνεκεν. τὸ δ' αἰεὶ παράμερον ἑσλόν
ὕπατον ἔρχεται παντὶ βροτῷ. ἐμὲ δὲ στεφανῶσαι
κεῖνον ἱππίῳ νόμῳ
Αἰολῇδι μολπᾷ
χρή· πέποιθα δὲ ξένον
μή τιν' ἀμφότερα καλῶν τε ἴδριν ἄμμε καὶ δύναμιν κυριώτερον
τῶν γε νῦν κλυταῖσι δαιδαλωσέμεν ὕμνων πτυχαῖς. Ἐπ. δ'.
θεὸς ἐπίτροπος ἐὼν τεαῖσι μήδεται
ἔχων τοῦτο κῦρος, Ἱέρων,
μερίμναισιν· εἰ δὲ μὴ ταχὺ λίποι,
ἔτι γλυκυτέραν κεν ἔλπομαι
σὺν ἅρματι θοῷ κλεΐξειν ἐπίκουρον εὑρὼν ὁδὸν λόγων,
παρ' εὐδείελον ἐλθὼν Κρόνιον. ἐμοὶ μὲν ὦν
Μοῖσα καρτερώτατον βέλος ἁλκᾷ τρέφει·

V. 99. *αἰεὶ* Hermann, v. *ἀεὶ*. — *ἑσλόν* Boeckh, v. *ἐσθλόν*. — V. 100. *βροτῷ*, *βροτῶν* W1 a m.pr. W2M1. — V. 101. *ἱππίῳ* Hermann, *ἱππείῳ* PcW1AMaCP1AbGVabdfM2, *ἱππικῷ* ceteri. — V. 104. *ἄμμε καὶ* correxit Mommsen, qui in epistola ad Friederichsium 16 accurate exposuit suorum librorum lectiones, quas repetere hic non opus est, *ἅμα καὶ* APcAbP1W1VabdfGu in m. M2Va1G in m., *ἄλλον καὶ* RGVeMab, *ἄλλον ἢ* PabVcgHGuM1 et vulgo. In proecdosi conieci *καλῶν τε μᾶλλον ἴδριν ἢ*, cf. Ol. II 93, quod recepit Hartung, Hermann scripsit *ἀλλὰ καί*. Mommseni emendationi favet Schol. 2: *πεπίστευκα . . . μηδένα με ἔτι φίλον τῶν νῦν ἀνθρώπων ἐγκωμιάσαι τοῖς ὕμνοις ἀμφότερα ἔχοντα, καὶ ἐπιστήμονα τὰ κατὰ ψυχὴν καὶ σώματος ἰσχὺν τούτου ἀνδρειότερον.* nisi ille potius haec optavit et divinavit, quam in suo libro legit; idem videtur *δ' ἔτ' ἴδριν* legisse, sed Pindarus scripsit *δὲ Fίδριν* (ut est in titulo Boeoto C. Inscr. 1575 *Fιδρίαο*). Paraphrastes, qui hic quoque prorsus omnia pervertit, videtur *ἄλλον* reperisse, schol. 3 fere consentit cum schol. 2, *πεπίστευκα δὲ ὅτι οὐδένα ὕμνησα ἀμφότερα ἔχοντα, ἐμπειρίαν τε καὶ ἄλλων δύναμιν*, ubi corrigas *ἐμπ. τε καλῶν καὶ δ.* — V. 105. *δαιδαλωσέμεν*, Ambr. *δαιδαλωσάμεν*. At Parmenides quoque v. 31 *δοκιμωσέμεναι* ex mea emendatione pro *δοκιμῶσαι* dixit. — V. 106. *τεαῖσι*, Hartung *ἑαῖσι*. — V. 107. *ἔχων*, Hermann *ἑκών*. — *κῦρος* Rauchenstein scripsit, vulgo *κῆδος* (Boeckh *κᾶδος*), *τωὐτὸ κᾶδος* Goram, quod Faehse suspicatus erat *κῦδος* in quatuor bonis libris reperit Mommsen. — V. 109. *κεν* om. M2. Hartung locum sic refinxit *νίκαν γλυκυτέραν ἔτ' ἔλπομαι . . . κλεΐξειν, ἐπικ.* — V. 110. *κλεΐξειν*, P1 *κλεῖξεῖν*, W1 alii *κλεΐζειν*. — V. 111. *ὦν Μοῖσα*, Hartung *ὦ Μοῖσα*. — V. 112. *ἁλκᾷ*, Va2 et tres alii libri ap. Momms. *ἁλκάν*, quod Hartung coniecit:

ἐπ' ἄλλοισι δ' ἄλλοι μεγάλοι· τὸ δ' ἔσχατον κορυφοῦται
βασιλεῦσι. μηκέτι πάπταινε πόρσιον.
εἴη σέ τε τοῦτον ὑψοῦ χρόνον πατεῖν,
ἐμέ τε τοσσάδε νικαφόροις 185
ὁμιλεῖν πρόφαντον σοφίᾳ καθ' Ἕλλανας ἐόντα παντᾷ.

ego suspicatus sum ἀλκᾶν i. e. ἀλκᾶεν legendum esse. — V. 113. ἐπ' om. PcVbdW2M2 lemma Schol., a. s. m. additum in W1Va1, ἐν P1 atque ita legit schol. Vindob. cuius lemma est ἄλλοι δ' ἄλλοισι μεγάλοι. Mommsen censet ἐπ' delendum, ceteras quoque epodos ad hoc exemplum mutaturus: non recte: si quis longam syllabam non refugiat, possit scribere ἀλλ' ἄλλοισιν ἄλλοι, quemadmodum est ap. Archil. 35: Ἀλλ' ἄλλος ἄλλῳ καρδίην ἰαίνεται. Interim acquiescendum est in Byzantinorum supplemento. — V. 115. σέ τε, P1Vb σε, schol. fort. δέ σε. — ὑψοῦ, M2 ὑψοῖς, fort. Pindarus ὑψοῖ scripsit. — τοσσάδε etiam schol. vett. agnoscunt, sed is qui scripsit χαίρω δὲ γράφων τοιάδε, καὶ ἔσται τοιαῦτα οἷα ἐπὶ σοῦ, videtur τοιάδε legisse, quorsum etiam spectat glossa cod. Vrat. — V. 116. πρόφαντον, Sch. πρόφατον, W2 a m. pr. πρόσφαντον. — V. 117. παντᾷ Pc, vulgo παντᾶ. Trypho his adverbiis detraxit litteram mutam, contra quem disputat Apollon. de adv. p. 560, qui et analogiae ope et paradosi usus (cf. etiam p. 625) iota tuetur. Mature tamen in nonnullis dialectis plane extrita est haec littera, et inde ab Augusti aetate etiam in communis vitae consuetudine fere omitti solebat cum in his, tum in aliis vocibus, cf. Strabo XIV 648. Artemidor. III 34. Franz Elem. Epigr. 233. Dorienses tamen non solum antiquiore tempore firmiter tenuerunt, vid. Ahrens Dor. 269, sed etiam novissimis saeculis ceteris religiosiores in hac re fuerunt, ita in hymno in Isidem IV 13 scribitur παντᾷ, ib. I 4 ὅπᾳ, IV 1 ὁμᾷ.

ΟΛΥΜΠΙΟΝΙΚΑΙ Β.

ΘΗΡΩΝΙ ΑΚΡΑΓΑΝΤΙΝΩι

ΑΡΜΑΤΙ.

Strophae.

⏑ ⏓ ⏑ – ⏓ ⏑ – ⏑

⏑ ⏔ ⏓ ⏑ – ⏓ ⏑ ⏖ ⏓ ⏖ ⏓ ⏑ ⏒

⏑ ⏓ ⏑ – ⏓ ⏑ ⏖ ⏓ ⏗ – ⏓ ⏑ – ⏔ ⏑ ⏒

⏓ ⏑ – ⏔ ⏑ ⏒

5 – ⏓ ⏑ ⏖ ⏓ ⏑ – ⏔ ⏑ – ⏓ ⏑ ⏒

⏑ ⏓ ⏓ ⏑ ⏖ ⏓ ⏑ ⏗ ⏓ ⏑ – ⏑ – ⏓ ⏑ – ⏑

– ⏓ ⏑ – ⏔ ⏑ – ⏑ – ⏑ ⏓ ⏑ ⏑ ⏒

Epodi.

– ⏓ ⏑ – ⏓ ⏑ ⏗ ⏓ ⏑ ⏒

⏓ ⏑ – ⏑ – ⏔ ⏑ – ⏑ – ⏓ ⏑ – ⏒

⏔ ⏑ – ⏓ ⏑ – ⏑ – ⏔ ⏑ – ⏓ ⏑ ⏒

– ⏓ ⏑ – ⏓ ⏑ ⏗ ⏓ ⏑ ⏖ ⏓ ⏑

5 ⏑ ⏓ ⏕ ⏑ – ⏑ – ⏓ ⏑ – –

⏑ ⏓ ⏜ – ⏑ – ⏑

Στρ. α'.

Ἀναξιφόρμιγγες ὕμνοι,

Str. v. 6. Boeckh in priore ed. in duos versus divisit, ut ultimae sex syllabae peculiarem versum efficerent, ⏑ ⏓ ⏓ ⏑ – ⏑; recte, ut mihi videbatur, cf. ad v. 8 et 26, nisi quod ⏑ ⏓ – ⏑ ⏓ ⏒ praestare arbitrabar. — Ep. v. 1 antea erat – ⏓ ⏑ – ⏓ ⏑ ⏑ – ⏑ ⏒, sed syllaba ex libris revocata v. 55. 75. 95. creticum numerum restituendum esse vidit Tycho Mommsen.

τίνα θεόν, τίν' ἥρωα, τίνα δ' ἄνδρα κελαδήσομεν;
ἦτοι Πίσα μὲν Διός· Ὀλυμπιάδα δ' ἔστασεν Ἡρακλέης
ἀκρόθινα πολέμου·
Θήρωνα δὲ τετραορίας ἕνεκα νικαφόρου
γεγωνητέον, ὅπι δίκαιον ξένων, ἔρεισμ' Ἀκράγαντος,
εὐωνύμων τε πατέρων ἄωτον ὀρθόπολιν·

Ἀντ. α'.

καμόντες οἳ πολλὰ θυμῷ
ἱερὸν ἔσχον οἴκημα ποταμοῦ, Σικελίας τ' ἔσαν
ὀφθαλμός, αἰών τ' ἔφεπε μόρσιμος, πλοῦτόν τε καὶ χάριν
ἄγων
γνησίαις ἐπ' ἀρεταῖς.
ἀλλ' ὦ Κρόνιε παῖ Ῥέας, ἕδος Ὀλύμπου νέμων
ἀέθλων τε κορυφὰν πόρον τ' Ἀλφεοῦ, ἰανθεὶς ἀοιδαῖς
εὔφρων ἄρουραν ἔτι πατρίαν σφίσιν κόμισον

Ἐπ. α'.

λοιπῷ γένει. τῶν δὲ πεπραγμένων
ἐν δίκᾳ τε καὶ παρὰ δίκαν ἀποίητον οὐδ' ἂν
χρόνος ὁ πάντων πατὴρ δύναιτο θέμεν ἔργων τέλος·
λάθα δὲ πότμῳ σὺν εὐδαίμονι γένοιτ' ἄν.
ἐσλῶν γὰρ ὑπὸ χαρμάτων πῆμα θνάσκει
παλίγκοτον δαμασθέν,

Στρ. β'.

ὅταν θεοῦ Μοῖρα πέμπῃ
ἀνεκὰς ὄλβον ὑψηλόν. ἕπεται δ' ὁ λόγος εὐθρόνοις

V. 2. *θεόν*, P1Pb *θεῶν*. Affert Gramm. Harl. post Heph. p. 331, ubi *θεῶν* et deinde *ἡρώων*. — *τίνα δ'*, BbGLaMaAbAVa1M2 *τίν'*. — V. 4. *ἀκρόθινα*, Zenodotus *ἀκροθίνια*, lemma schol. *ἀκροθίνια*. — V. 6. *γεγωνητέον, ὅπι δίκαιον ξένων* id est *ὅπιδι* Hermann, cum ante *ὅπιν δίκαιον ξένον* coniecisset, libri *γεγωνητέον ὁπί, δίκαιον ξένον*, nisi quod G a m. pr. *ὅπι* (ita etiam Va2 alii ap. Momms.) et supra *ὅπως*, *καθώς*, unde elicias *γεγωνητέον, ὅπᾳ δίκαιον, ξένων ἔρεισμ', Ἀκράγαντος εὐωνύμων τε πατέρων κτλ.* Sed potius versu in duas partes diviso mihi olim videbatur scribendum *γεγωνητέ' ἔνοπᾷ δικαιόξενον | ἔρεισμ' Ἀκράγαντος*. Kayser *γεγωνητέον ἐν ὁπί, δίκαιον ξένον*. Hartung *ὅπιν δίκαιον ξένων*, quod probat Mommsen, nisi quod *δικαίαν* requirit, et praeterea dubitanter *ὅπιδα* proponit. Hecker *ὁπὶ δίκαιον νέων*. — V. 10. *πλοῦτον*, Hermann *ὁ πλοῦτον*, atque ita numero versus consulitur, ut iam congruat cum ceteris strophis, sed fort. *ἐπ' ὄλβον* scribendum, cf. schol. *τὴν εὐδαιμονίαν ἐπιπέμπων ἐπὶ ταῖς γνησίαις αὐτῶν ἀρεταῖς*. — V. 14. *σφίσιν*, PcW12M2 Ambr. *σφίσι*, Pc etiam *κόμησον*. — V. 17. *ὁ πάντων*, Aa (a pr. m.) *ἀπάντων*. — V. 21. *πέμπῃ*, W1 *πέμψῃ*. — V. 22. *ἀνεκάς*, Pc *ἀναβάς* cum gl. *ὑψωθεῖσα*, similiter Leidensis a Mommseno collatus, eodemque ducunt aliorum corruptelae. Ceterum Schneidewin *ἀνακάς* scribere mavult (Philol. VI 118). — *δ' ὁ λόγος* Hartung, atque ita ut videtur schol., vulgo *δὲ λόγος*.

Κάδμοιο κούραις, ἔπαθον αἰ μεγάλα, πένθος δ' ἐπίτνει
βαρύ
κρεσσόνων πρὸς ἀγαθῶν.
ζώει μὲν ἐν Ὀλυμπίοις, ἀποθανοῖσα βρόμῳ
κεραυνοῦ τανυέθειρα Σεμέλα, φιλεῖ δέ νιν Παλλὰς αἰεί,
καὶ Ζεὺς πατὴρ μάλα, φιλεῖ δὲ παῖς ὁ κισσοφόρος
Ἀντ. β'.
λέγοντι δ' ἐν καὶ θαλάσσᾳ
μετὰ κόραισι Νηρῆος ἁλίαις βίοτον ἄφθιτον
Ἰνοῖ τετάχθαι τὸν ὅλον ἀμφὶ χρόνον. ἤτοι βροτῶν γε
κέκριται
πεῖρας οὔ τι θανάτου,
οὐδ' ἀσύχιμον ἁμέραν ὁπότε παῖδ' ἀελίου
ἀτειρεῖ σὺν ἀγαθῷ τελευτάσομεν· ῥοαὶ δ' ἄλλοτ' ἄλλαι
εὐθυμιᾶν τε μετὰ καὶ πόνων ἐς ἄνδρας ἔβαν.
Ἐπ. β'.
οὕτω δὲ Μοῖρ', ἅ τε πατρώϊον
τῶνδ' ἔχει τὸν εὔφρονα πότμον, θεόρτῳ σὺν ὅλβῳ
ἐπί τι καὶ πῆμ' ἄγει παλιντράπελον ἄλλῳ χρόνῳ·
ἐξ οὗπερ ἔκτεινε Λᾶον μόριμος υἱός
συναντόμενος, ἐν δὲ Πυθῶνι χρησθὲν

V. 23. *δ' ἐπίτνει* Boeckh et Mingarelli, v. *δὲ πιτνεῖ*. Dissen *ἔπιτνεν*, quoniam aoristus requiri videtur, sed haec quoque imperfecti, non aoristi est forma. — V. 24. *πρὸς*, Schol. etiam *πρό*. — V. 26. *νιν* Paris. (M.), ceteri *μιν*. — Post hunc versum APabcGMaHGuLipW12LabP1Va1 Bodl. tres AabM12 exhibent *φιλέοντι δὲ* (Aab *τε*) *Μοῖσαι*. Eiecit Triclinius itaque deest in libris, qui illius recensionem sequuntur. Schol. *ἔστι περισσὸν τὸ κῶλον ὡς πρὸς τὴν ἀντίστροφον· ὅθεν καὶ ὄβελος αὐτῷ παράκειται*, quae ipsius Aristophanis nota esse videtur, vid. infra: *τοῦτο τὸ κῶλον ἀθετεῖ Ἀριστοφάνης*. Hinc olim existimabam locum antiquitus iam labem contraxisse; poeta scripsisse videbatur:

Ζώειν μὲν ἐν Ὀλυμπίοις ἀποθανοῖσαν βρόμῳ
κεραυνοῦ τανυέθειρα Σεμέλαν φάτις·
φιλέοισιν δὲ Μοῖσαι.

ut Archilochus *χρυσοέθειρ* dixit, etiam Pindaro licuit heterocliton *τανυέθειρα* dicere, cuius ignoratio corruptioni ansam poterat dare. — V. 27. W1 distinguit *πατήρ, μάλα φιλεῖ δὲ* non male. — V. 30. *τετάχθαι*, Hecker *τετύχθαι* — *γε* ABβγGMabHP1W1Va1AbPc, om. RPabLip GuBαM1. Sed Schol. fort. *βροτῶν γε θανάτου πεῖρας οὔτι κέκριται*. Hartung scripsit *οὔτοι βροτῶν κέκριται πεῖρας*. — V. 31. *πεῖρας, πέρας* PcW1 (a m. pr.) M2 Sch. — *θανάτου*, M. Schmidt *καμάτου*. — V. 32. *ἀελίου* GW1, *παῖδα ἡλίου* Pc, *ἁλίου* v. — V. 33. *δ'*, W1 *τ'* — V. 34. *μετά*, PcM12 *μέτα*. quod non sequar, vid. Nem. III 84. — V. 36. *τῶνδ'*, R Bodl. tres *τόνδ'*, Schol. et hoc et fort. *τοῦδ'*. — V. 37. *ἄλλῳ χρόνῳ*, W1 *ἄλλος χρόνος* cum Sch. 2, qui dicit *χρόνος ἀντὶ τοῦ χρόνου* (*χρόνῳ*.) — V. 38. *Λᾶον* Hermann, v. *Λάϊον* — *μόριμος*, PcW1 Ambr. M1 supra *μόρσιμος*.

παλαίφατον τέλεσσεν.

Στρ. γ'.

ἰδοῖσα δ' ὀξεῖ' Ἐριννύς
ἔπεφνέ οἱ σὺν ἀλλαλοφονίᾳ γένος ἀρήϊον·
λείφθη δὲ Θέρσανδρος ἐριπέντι Πολυνείκει, νέοις ἐν ἀέθλοις
ἐν μάχαις τε πολέμου
τιμώμενος, Ἀδραστιδᾶν θάλος ἀρωγὸν δόμοις·
ὅθεν σπέρματος ἔχοντα ῥίζαν πρέπει τὸν Αἰνησιδάμου
ἐγκωμίων τε μελέων λυρᾶν τε τυγχανέμεν.

Ἀντ. γ'.

Ὀλυμπίᾳ μὲν γὰρ αὐτός
γέρας ἔδεκτο, Πυθῶνι δ' ὁμόκλαρον ἐς ἀδελφεόν
Ἰσθμοῖ τε κοιναὶ Χάριτες ἄνθεα τεθρίππων δυωδεκαδρόμων
ἄγαγον· τὸ δὲ τυχεῖν
πειρώμενον ἀγωνίας, παραλύει δυσφρονᾶν.
ὁ μὰν πλοῦτος ἀρεταῖς δεδαιδαλμένος φέρει τῶν τε καὶ τῶν
καιρόν, βαθεῖαν ὑπέχων μέριμναν ἀγροτέραν,

Ἐπ. γ'.

ἀστὴρ ἀρίζηλος, ἐτυμώτατον
ἀνδρὶ φέγγος· εἰ δέ νιν ἔχων τις, οἶδεν τὸ μέλλον,

V. 41. Schneidewin Ἐρινύς. — V. 42. ἔπεφνέ οἱ BcHMbAa (a m. s.), πέφνε οἱ GP1AbVa1M2, πέφνεν οἱ AMaCW1, quod defendi potest, sed duriusculum, πέφνεν ἑοῖ W2Aa (a m. sec.) M1 ut vulgo. — V. 43. ἐριπέντι PcW12AGMaP1AbVa1Gu a m. pr., ἐριπόντι vulgo; Apollon. Synt. 280 utramque lectionem memorat, cf. Scholiast. Iliad. Π 342. — V. 45. Ἀδραστιδᾶν, PcW1M2 Ambr. ἀδραστειδᾶν vel ἀδραστεϊδᾶν, et sic vel potius Ἀδραστεΐδων Scholiast. legit, cf. Et M. 19, 47. W2 a m. s. Ἀδραστίδων. — V. 46. ἔχοντα ῥίζαν πρέπει τὸν Αἰν. Aristarchus legit, nam in sch. quamvis valde confuso apparet pro Ἀρίσταρχος δὲ οὕτως· ὅθεν σπέρματος ἔχον ῥίζαν τὸν Αἰνησιδάμου· ὡς τῶν ἴσων εἶναι τῷ ἀφ' ὧν ἔχοντι τὸ σπέρμα τῷ Αἰνησιδάμου υἱῷ πρέπει λυρῶν καὶ ἐγκωμίων τυγχάνειν, scribendum ἔχοντα, non ἔχοντι, nam in paraphrasi demum substituit dativum. Et ἔχοντα Pc a m. s., sed Didymus: ὅθεν σπέρματος ἔχοντι ῥίζαν· πρέπει τὸν κτλ. et sic codd., nisi quod W1 ἔσχοντι, P1 et La in m. ἔχουσι. — V. 52. δυσφρονᾶν G. Dindorf, et sic legit Schol. 2, qui τῶν δυσκόλων φροντίδων interpretatur, vulgo δυσφρόνων, Bβγ δυσφορῶν; Ab δυσφοράν, W2 δυσφόρυναν, PcGGu (a m. s.) M2 δυσφροσύναν παραλύει. Schol. veteres vel ἀφροσύνας (ita etiam sch. Vind.) vel ἀφροσύναν legisse videntur, schol. rec. δυσφρόνων. Hartung scripsit παραλύει δυσφόρων πόνων· πλοῦτος κτλ. — V. 54. ἀγροτέραν, Hecker ἀκροτέραν. Hartung interpunxit ἀγροτέραν. Ἀστὴρ κτλ. — V. 55. ἐτυμώτατον APcMaGAbP1Va12, ἐτήτυμον R in m., ἔτυμον Schol. in Mb, ἀληθινὸν W12G in m. ceteri, et ἀληθινὸν et ἀληθινώτατον Schol in paraphrasi. — V. 56. εἰ δέ μιν ἔχων τις codd. integri ut P1Va1Pc Schol. (nisi quod

ὅτι θανόντων μὲν ἐνθάδ' αὐτίκ' ἀπάλαμνοι φρένες
ποινὰς ἔτισαν, τὰ δ' ἐν τᾷδε Διὸς ἀρχᾷ
ἀλιτρὰ κατὰ γᾶς δικάζει τις ἐχθρᾷ
λόγον φράσαις ἀνάγκᾳ.

Στρ. δ'.

ἴσαις δὲ νύκτεσσιν αἰεί,
ἴσαις θ' ἁμέραις ἄλιον ἔχοντες, ἀπονέστερον
ἐσλοὶ δέκονται βίοτον, οὐ χθόνα ταράσσοντες ἐν χερὸς ἀκμᾷ
οὐδὲ πόντιον ὕδωρ

lemma *νιν*), interpolati *ἔχει*. Boeckh *εἴ γε μιν ἔχων*, Schneidewin *ἦν δέ μιν ἔχων*, Tafel et Rauchenstein *εὖ δέ μιν ἔχων*. Ego in epecdosi suspicatus sum *οἶδέ μιν ἔχων τις*, *οἶδεν τὸ μέλλον*. Mommsen *ἔχων* loco verbi finiti esse putat, Hermann apodosin deesse existimat, ut poeta anacoluthia quadam sit usus, L. Schmidt postquam priorum interpretum sententias non sine calumnia recensuit, censet apodosin haud desiderari, sed post longissimam intercapedinem verborum v. 89 orationem continuari, quod vix cuiquam probabit, quamquam etiam Oelschlaeger et Mommsen suspicantur apodosin subsequi v. 61. Ego interpunctione post *τις* addita puto impeditum hunc locum facillime illustrari: brachylogia utitur poeta, verbum enim *οἶδεν*, quod iterandum fuit, semel adhibuit. Hoc enim dicit: Si quis alius opibus simul et virtutibus clarus futurum tempus mente tenet, hic est. Theronem enim dici, cuius laudes hīc erant celebrandae, facile unusquisque audientium intelligebat. — V. 57. *θανόντων*, Hartung *φόνων τῶν*, Oelschlaeger *βροτῶν τῶν*. — *αὐτίκ'*, Rauchenstein probabiliter *αὖτις*, quamquam quid Pindarus scripserit, certo indagari nequit, possis cum alia, tum *ἄντιτ'* vel *ἐς τοῖς* suspicari. — V. 58. *τᾷδε*, Pc *τᾶ*. — V. 59. Aa (a m. pr.) *ἐχθρᾶς* et *ἀνάγκας*, Pa *ἐχθρὰ* et *ἀνάγκα*, hinc Hartung scripsit *ἐχθρὰ λόγον φράσαισ' Ἀνάγκα*. — Ceterum *φράσαις* Va2, reliqui *φράσας*. — V. 61. 62. *ἴσαις δὲ . . . ἴσαις θ' ἁμέραις* scripsi, hoc enim opinor dixit poeta, illic noctibus semper pares esse dies; est illic ver quasi perpetuum, non sicut nos in hoc terrarum orbe hiemis saevitia laborant, itaque etiam tellus sua sponte omnia fert. Accedit autem haec lectio proxime ad bonorum librorum scripturam, nam APcP1G lemma sch. cod. W1 *ἴσαις δὲ νύκτ.* (AVa2 *δ' ἐν*) . . . *ἴσαις δ' ἐν ἀμ.*, Ab *ἴσας . . . ἴσαις* (Ab *ἀν' ἀμ.*), MaVa1 *ἴσον δ' ἐν νύκτ'* et Va1 *ἴσαις δ' ἐν ἀμ.* M2 *ἴσαις δὲ ν. . . . ἴσαις δ' εν*, sed suprascr. bis *ἴσον*. Vulgo legitur *ἴσον δὲ νύκτ . . . ἴσα δ' ἐν ἀμέραις*, quae lectio interpolatis libris debetur. Boeckh *ἴσον δὲ ν . . . . ἴσον ἐν ἀμ.*, Hartung *ἴσον δὲ ν. αἰεὶ οἷον ἐν ἀμέραις*, ego in epecdosi iam suspicatus eram *ἐν* delendum et scribendum esse *ἴσᾳ δὲ ν. . . . ἴσᾳ δ' ἐν ἀμέραις*, quamquam sane haec metri species ab reliquis strophis recedit, hinc Mommsen *ἴσαις δὲ ν . . . ἴσαις δ' ἀμ.*, sed quomodo explicandum censeat locum, non significavit. — *ἄλιον*, ex nullo libro *ἀέλιον* enotatum. — V. 63. *δέκονται βίοτον* Wüstemann, idque plane extat in Ambr. (ubi glossa *δέχονται* suprascr.) atque eodem ducit Pc ubi est *δὲ δέρκονται βίοτον* (*δὲ* add. m. sec.), *δέρκονται βίοτον* GP1AbVa1Gu supra M2 a m. pr. (supra *νέμονται*, idem *βίον* exhibet), vulgo *νέμονται βίοτον*, Geelius *δρέπονται*, Hermann *δεδόρκαντι βίον*, Boeckh coniecit *δράκονται*. — *ἐν χερὸς ἀκμᾷ* Sch. APcG (supra *ἀλκᾷ*) CAbVa1P1, *ἀλκᾷ χερῶν* vulgo (Gu *ἀρχᾷ χερῶν* et in m. *ἀλκᾷ*, H *ἀρχᾷ χειρῶν ἀλκᾷ* et in m. *ἀκμᾷ*). Mommsen *ἔγχερος* coniecit, quod idem sit atque *ἐγχειριδίον*, idque existimat scholiorum auctoritate

κεινὰν παρὰ δίαιταν· ἀλλὰ παρὰ μὲν τιμίοις
θεῶν, οἵτινες ἔχαιρον εὐορκίαις, ἄδακρυν νέμονται
αἰῶνα· τοὶ δ' ἀπροσόρατον ὀκχέοντι πόνον.

Ἀντ. δ'.

ὅσοι δ' ἐτόλμασαν ἑστρὶς
ἑκατέρωθι μείναντες ἀπὸ πάμπαν ἀδίκων ἔχειν
ψυχάν, ἔτειλαν Διὸς ὁδὸν παρὰ Κρόνου τύρσιν· ἔνθα μακάρων
νᾶσος ὠκεανίδες
αὖραι περιπνέοισιν· ἄνθεμα δὲ χρυσοῦ φλέγει,
τὰ μὲν χερσόθεν ἀπ' ἀγλαῶν δενδρέων, ὕδωρ δ' ἄλλα φέρβει,
ὅρμοισι τῶν χέρας ἀναπλέκοντι καὶ στεφάνοις,

Ἐπ. δ'.

βουλαῖς ἐν ὀρθαῖσι Ῥαδαμάνθυος,

firmari (vid. Mus. Rhen. XVIII 303), ego non credo, sed teneo, quod dudum conieci ἔγχεος ἀκμᾷ, scholiastae 1 et 2 vulgatam tuentur, sed sch. 3 qui dicit τινὲς δὲ χερὸς ἀκμᾷ τὸ ἄροτρον ἢ τὸ δόρυ meam videtur coniecturam firmare. Quemadmodum Sophocles facem vel pilam ἔγχος appellavit, poterat etiam hic poeta vomerem dicere. Ceterum facile aliquis coniiciat χαράσσοντες, neque tamen hoc praeoptaverim. — V. 65. κεινὰν, Pc M2 κενεὰν, utrumque Schol.; κενεὸν περὶ Sch. Arati 110. Poeta scripsit κενϝάν. — παρὰ μὲν τιμίοις, Hartung παρὰ τιμαόροις. — V. 66. ἄδακρυν, Ambr. ἀδάκρυτον. — V. 67. ἀπροσόρατον, Schol. Vrat. ἀπροόρατον. — V. 69. Hermias in Plat. Phaedr. 152 exhibet ἑκατέρωθε ἀπὸ πάμπαν ἀδίκων ἔργων σχεθέμεν ψυχὰν ἔστειλαν κτλ. — V. 70. ἔτειλαν, PcM12 ἔστειλαν. — V. 71. νᾶσος BdcLipW1 (W2 a m. s.) AabMB, νάσος PcH (in m.), νάσους M12HLab, νᾶσον RVa1, νάσον A, νάσων Ma. — V. 72. περιπνέοισιν PcGGu, περιπνέουσι vulgo. — V. 74. χέρας, χερσί BαAaW2 (a m. s.), Hartung κάρα. — στεφάνοις vulgo, quod explicandum per ἐν διὰ δυοῖν, ut sit ὅρμοις στεφάνων, sed PaVa1M2 στεφάνους, Pc W2Aa utrumque, Hermann στεφάνας, Boeckh κεφαλάς, Karsten κροτάφους, quae coniectura maxime verisimilis est, nisi forte κροτάφοις poeta aeolico more scripsit. Scholiastae iam non poterant locum expedire, sed quid legerint, ambigo. In epecdosi conieci ἀναπλέκοντ' ἐϋστεφάνοις. — V. 75. ἐν om. W1BcAaMbM2. — ὀρθαῖσι PcVa2 Sch., ὀρθαῖς vulgo. — V. 76. (παῖς ὁ) Γᾶς ἑτοῖμον [αὐτῷ] πάρεδρον, πόσις ἀπάντων Ῥέας ὑπέρτατον ἔχοισας θρόνον, ita locum graviter corruptum restitui, nam αὐτῷ manifestum glossema, contra παῖς ὁ (sive πάϊς ὁ malis) et sententia et versus requirit, et sic fere Didymus constituit locum: ὁ δὲ Δίδυμος ἐπὶ τοῦ Κρόνου καθιστᾷ τὸν λόγον· ὅντινα Ῥαθάμανθυν ὁ πατὴρ πάντων ὁ Κρόνος, ὁ τῆς Γῆς παῖς, ὁ ἀνὴρ τῆς ὕπατον ἐχούσης θρόνον Ῥέας ἕτοιμον καὶ ἀχώριστον ἔχει πάρεδρον, sed non vidit ἀπάντων corrigendum pro ὁ πάντων, quod hyperbato non ferendo ad πατὴρ retulit, quo nomine simpliciter Saturnus appellari potuit, cf. Plato Cratyl. 404 a. Vulgo legitur: Κρόνος ἕτοιμον αὐτῷ πάρεδρον πόσις ὁ πάντων Ῥέας ὑπέρτατον ἔχοισας θρόνον, sed AGPcP1Va1M2 γᾶς ἕτοιμον (Pc addit γε) αὐτῷ π. π. ὁ π. P. ὕπατον ἐχοίσας παῖς (vel etiam παῖς ἐχοίσας, ut videtur) θρόνον. Et Κρόνος antiquitus non lectum esse inde apparet, quod Aristarchus omnia ad Iovem retulit, Didymus demum Saturnum intelligendum esse vidit; ipsum nomen an intulerit, non liquet,

ὃν πατὴρ ἔχει (παῖς ὁ) Γᾶς ἑτοῖμον [αὐτῷ] πάρεδρον,
πόσις ἁπάντων Ῥέας ὑπέρτατον ἐχοίσας θρόνον.
Πηλεύς τε καὶ Κάδμος ἐν τοῖσιν ἀλέγονται·
Ἀχιλλέα τ' ἔνεικ', ἐπεὶ Ζηνὸς ἦτορ
λιταῖς ἔπεισε, μάτηρ·

Στρ. ε'.

ὃς Ἕκτορ' ἔσφαλε, Τροίας
ἄμαχον ἀστραβῆ κίονα, Κύκνον τε θανάτῳ πόρεν,
Ἀοῦς τε παῖδ' Αἰθίοπα. πολλά μοι ὑπ' ἀγκῶνος ὠκέα
βέλη
ἔνδον ἐντὶ φαρέτρας
φωνάεντα συνετοῖσιν· ἐς δὲ τὸ πὰν ἑρμηνέων
χατίζει. σοφὸς ὁ πολλὰ εἰδὼς φυᾷ· μαθόντες δὲ λάβροι
παγγλωσσίᾳ, κόρακες ὥς, ἄκραντα γαρύετον

Ἀντ. ε'.

Διὸς πρὸς ὄρνιχα θεῖον.
ἔπεχε νῦν σκοπῶ τόξον, ἄγε θυμέ, τίνα βάλλομεν
ἐκ μαλθακᾶς αὖτε φρενὸς εὐκλέας ὀιστοὺς ἱέντες; ἐπί τοι
Ἀκράγαντι τανύσαις
αὐδάσομαι ἐνόρκιον λόγον ἀλαθεῖ νόῳ,
τεκεῖν μή τιν' ἑκατόν γε ἑτέων πόλιν φίλοις ἄνδρα μᾶλ-
λον

quamquam fort. *Κρόνος*, ὁ *Γᾶς* legit. Aristarchus coniecit *πόσιος* pro *πόσις*, ut Rhadamanthys compotator Iovis diceretur; quod si is quoque ὁ *πάντων* servavit, ut videtur Schol. indicare, scripsisse censendus est *ὃν πατὴρ ἔχει ..... πάρεδρον πόσιος ὁ πάντων Ῥέας ὕπατον ἐχοίσας παῖς θρόνον* satis *ἀμέτρως*, sed fortasse *ὃν πατὴρ πάντων ἔχει ἑτοῖμον αὐτῷ πάρεδρον πόσιος, ὧν παῖς Ῥέας ὑπέρτατον ἐχοίσας θρόνον* scripsit. — V. 81. *Τροίας*, Boeckh *Τρῳάς* probabiliter, cf. Eustath. Prooem. 13, sed vulgaris forma etiam Nem. II 14. Isthm. V 28. VII 52 legitur. — V. 85. *φωνάεντα* PbcGP1Va1, *φωνήεντα* Pa, *φωνάετα* AMa (a pr. m.), *φωνᾶντα* Schol. et vulgo, *φωνεῦντα* AaW2 Eustath. Il. 1237, 61. Prooem. 2. Cramer. An. P. III 247, 27. — *πὰν* W2, *πᾶν* vulgo, utrumque Aa, Boeckh *τοπὰν*, Oelschlaeger *ἐς δὲ μέσον* coniecit, Hartung locum sic refinxit *ἄσκοπα μὲν ἑρμηνέων χατίζει*. — V. 86. *φυᾷ*, *φύσει* Longin. Rhet. I p. 313 ed. Spengel. — *λάβροι παγγλωσσίᾳ*, fort. poeta scripsit *λάβρῳ παγγλωσίᾳ*. — V. 87. *γαρύετον*, Dawesius *γαρυέμεν*, at *γαρύετον* etiam Aristid. II 35. Theophyl. Ep. VII 12 et Greg. Cor. 218. Hartung pessime *γαρύεται*, quod novum substantivum esse credit, non reputans tunc *ἄκραντα* nullo modo ferri posse. — V. 91. *Ἀκράγαντι*, W12PabBcαLipH MabLabM1 *Ἀκράγαντα*. — *τανύσαις*, PcP1Gu (a m. pr.) M2 *τανύσσαις*, G *τάνυσσον*, Va1 *τανύσας*, et Schol. quoque per part. *τείνας* interpretatur et cum seq. iungit, quem praeeunte Hartungo secutus sum, vulgo enim post *τανύσαις* interpungi solet. — V. 92. *αὐδάσομαι*, Lip a pr. m. *αὐδάσομεν*. — *ἐνόρκιον*, Schol. in lem. *μεθ' ὅρκιον*. — V. 93. *γε ἑτέων* E. Schmid, codd. *γ' ἑτέων*, Schol. *γ'* om. Hartung *κεν ἑτέων*. Pindarus *Ϝετέων* scripsit.

εὐεργέταν πραπίσιν ἀφθονέστερόν τε χέρα

Ἐπ. ε΄.

Θήρωνος. ἀλλ' αἶνον ἐπέβα κύρος
οὐ δίκᾳ συναντόμενος, ἀλλὰ μάργων ὑπ' ἀνδρῶν,
τὸ λαλαγῆσαι θέλων κρύφον τε θέμεν ἐσλῶν καλοῖς
ἔργοις. ἐπεὶ ψάμμος ἀριθμὸν περιπέφευγεν·
ἐκεῖνος ὅσα χάρματ' ἄλλοις ἔθηκεν,
τίς ἂν φράσαι δύναιτο;

V. 95. ἐπέβα PcVa12AMaP1Ab Sch., ἔβα vulgo, Hartung ἐλᾷ. — V. 97. θέλων, Boeckh ἐθέλων. — κρύφον Aristarchus, cum ante κρύφιον legeretur. — ἐσλῶν aut ἐσλὸν PacGP1AbVa1, ἐσθλῶν LipAaHGu Moscovienses Leidd., ἐσθλὸν APbW2. sed Ambr. ut videtur θέμεν' ἑλών et deinde κακοῖς. Haec iam antiquitus labem contraxerunt: nam τὸ λαλαγῆσαι θέλων omnino non est graecum: neque tamen aliud quid legebant veteres, qui pro arbitrio ut solent in locis corruptis et impeditis interpretantur: ὁ γὰρ κόρος τῶν ἀνθρώπων τῶν ἀργῶν (scr. μάργων) τῶν θορυβῆσαι θελόντων ἐπέβη τῷ τοῦ Θήρωνος ἐπαίνῳ, κρύψιν θέλων θεῖναι τοῖς τῶν ἀγαθῶν ἔργοις. Conieci olim καλαλαγῆσαι θέλων i. e. καταλαλαγῆσαι. Hartung scripsit συναντόμενος· ἀλλὰ μάργων γὰρ ἀνδρῶν τὸ λαλαγῆσαι, ἐθέλειν κρύφον τε κτλ. quae sane non improbabilis est emendatio: ipse tentavi ἀλλὰ μάργων ὑπ' ἀνδρῶν, λάλαγες οἷ τ' ἦθελον κρύφον τι θέμεν ἐσλῶν καλοῖς ἔργοις ἔπι· ψάμμος κτλ. λάλαγες secundum Hesychium sunt χλωραὶ βάτραχοι. — V. 99. ἐκεῖνος, R κεῖνος, Va1 GuAGMaM2 κἀκεῖνος vel κᾀκεῖνος.

ΟΛΥΜΠΙΟΝΙΚΑΙ Γ.

ΘΗΡΩΝΙ ΑΚΡΑΓΑΝΤΙΝΩι

ΕΙΣ ΘΕΟΞΕΝΙΑ.

Strophae.

–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
– –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏓
– –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
– –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏓
5 –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – ⏒

Epodi.

–́ ⏑ – ⏒ –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – ⏒ –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
5 –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – ⏒

Στρ. α'.

Τυνδαρίδαις τε φιλοξείνοις ἀδεῖν καλλιπλοκάμῳ θ' Ἑλένᾳ κλεινὰν Ἀκράγαντα γεραίρων εὔχομαι,

Ep. v. 4. Boeckh ante in duos versus diviserat, ut seni fierent versus. „De versuum distributione nihil est quod moneam, nisi quod dubium potest videri, utrum epodi v. 4 et 5 coniungendi sint an disiungendi. Coniunctionem suadet elisio per apostrophum epod. 2. 3, divisionem syllaba anceps epod. 1, interpunctio epod. 2 atque elegans roborisque plenus brevioris numeri ante clausulam usus. Sed syllaba anceps etiam v. 27 in medio reperitur versu: atque item apostrophus tum alibi tum v. 26 in fine versus. Quapropter fluctuante iudicio malui vulgatam relinquere distinctionem quam utrumque metrum coniungere.“ *Boeckh.* idem in editione altera hos versus coniunxit.

V. 1. *ἀδεῖν* Sch. W1 et ut videtur plures libri boni, v. *ἁδεῖν*.

Θήρωνος Ὀλυμπιονίκαν ὕμνον ὀρθώσαις, ἀκαμαντοπόδων
ἵππων ἄωτον. Μοῖσα δ' οὕτω ποι παρέστα μοι νεοσίγαλον
εὑρόντι τρόπον
Δωρίῳ φωνὰν ἐναρμόξαι πεδίλῳ

Ἀντ. α'.

ἀγλαόκωμον· ἐπεὶ χαίταισι μὲν ξευχθέντες ἔπι στέφανοι
πράσσοντί με τοῦτο θεόδματον χρέος,
φόρμιγγά τε ποικιλόγαρυν καὶ βοὰν αὐλῶν ἐπέων τε θέσιν
Αἰνησιδάμου παιδὶ συμμίξαι πρεπόντως, ἅ τε Πίσα μ' ἐγ-
γονεῖν· τᾶς ἄπο
θεύμοροι νίσονθ' ἑπ' ἀνθρώπους ἀοιδαί,

Ἐπ. α'.

ᾧ τινι, κραίνων ἐφετμὰς Ἡρακλέος προτέρας
ἀτρεκὴς Ἑλλανοδίκας γλεφάρων Αἰτωλὸς ἀνὴρ ὑψόθεν
ἀμφὶ κόμαισι βάλῃ γλαυκόχροα κόσμον ἐλαίας, τάν ποτε
Ἴστρου ἀπὸ σκιαρᾶν παγᾶν ἔνεικεν Ἀμφιτρυωνιάδας,
μνᾶμα τῶν Οὐλυμπίᾳ κάλλιστον ἀέθλων,

.V. 3. *ὀρθώσαις* lemma schol. Va2, reliqui *ὀρθώσας*. — V. 4. *ποι*, Pc *τοι*, lemma schol. *μοι*, schol. 1 et 2 in interpretando prorsus ignorant, sch. 3 *που* substituit, schol. 4 *μέν*. — *παρέστα*, Gu *παρίστα*. Schol. tuentur *παρέστα* praeter 2, qui dicit: *οὕτω μοι ἐρχέσθω ἡ Μοῦσα*, nec tamen satis certum est, hunc aliud quid legisse, nam aut *ἔρχεται* scripsit, aut hariolatur tantum, ut commodam eliciat sententiam: nam si totius loci necessitudinem consideramus, consentaneum est, poetam Musae auxilium invocavisse, itaque ferri nequit *παρέστα*, obscuratum autem est ut videtur reconditum aliquod Musae nomen, velut *Μοῖσα Τιτωποῖ, παρίστα μοι νεοσίγαλον κτλ.* h. e. quasi dicas, Musa Aurora. Respicit poeta unam ex Musis, quas Siculus poeta Epicharmus adhibuit, vid. Tzetz. ad Hes. Op. p. 23 ed. Gaisf. *Ἐπίχαρμος δὲ ἐν τῷ τῆς Ἥβης γάμῳ . . . Νειλοῦν, Τριτώνην, Ἀσωποῦν, Ἑπταπόλην* (l. *Ἑπτα-πόρην*), *Ἀχελωΐδα, Τιτόπλουν, Ῥοδίαν*, ubi *Τιτωποῦν* legendum esse iam alias significavi: ut hanc potissimum eligeret Pindarus, videtur Castorum religione permotus esse. *Παρίστα* Doriensium more dixit poeta, ceterum cf. Empedocl. ap. Hippol. adv. Haeret. 254: *νῦν αὖτε παρίστασο Καλλιόπεια Ἀμφὶ θεῶν μακάρων ἀγαθὸν λόγον ἐμφαίνοντι.* Hartung scripsit *Μοῖσα δ' ἀντωπὸν παρέστα μοι*, L. Schmidt tuetur librorum scripturam et haec ad carmen Olympicum II spectare contendit, ita credit facillimo negotio omnes difficultates expediri; ego has argutias, maximeque quae p. 215 disputavit, non intelligo: fortasse qui minus obtuso ingenio sunt, persentiscunt. — V. 7. *θεόδματον* Sch. W1Pc. *θεόδμητον* HGuAaLaBdM1. — V. 8. mire scholiasta bis dicit *συμβαλεῖν τῇ λύρᾳ καὶ τῷ αὐλῷ τὸν Αἰνησιδάμου παῖδα Θήρωνα*, quasi inversam structuram reperisset. — V. 9. *με*, Hartung *ἑ*. — *γεγονεῖν*, Sch. etiam *γεγώνειν*, Emperius *γεγωνεῖ*. — V. 10. *θεύμοροι*, APcW1 *θεόμοροι*, Sch. M2 *θεόμοιροι*, Sch. Il Ξ 410 *θεόμηροι*. — *νίσονθ'* GP1Pc, Va1 *νήσονθ'*, Ab *νήσσονθ'*, BdAaHGuW2 Schol. Il. *νείσσονθ'*, v. *νίσσονθ'*. — V. 12. *γλεφάρων* M12, ut Boeckh scripsit, v. *βλεφάρων*. — V. 13. *βάλῃ* Sch. APc W2BcdGLipMaHGuAabLbVa1, v. *βάλοι*. — V. 15. *ἀέθλων* PcW1 corr., v. *ἄθλων*.

Στρ. β'.

δᾶμον Ὑπερβορέων πείσαις Ἀπόλλωνος θεράποντα λόγῳ·
πιστὰ φρονέων Διὸς αἴτει πανδόκῳ
ἄλσει σκιαρόν τε φύτευμα ξυνὸν ἀνθρώποις στέφανόν τ' ἀρετᾶν.
ἤδη γὰρ αὐτῷ, πατρὶ μὲν βωμῶν ἁγισθέντων, διχόμηνις ὅλον χρυσάρματος
ἐσπέρας ὀφθαλμὸν ἀντέφλεξε Μήνα,

Ἀντ. β'.

καὶ μεγάλων ἀέθλων ἁγνὰν κρίσιν καὶ πενταετηρίδ' ἁμᾷ θῆκε ξαθέοις ἐπὶ κρημνοῖς Ἀλφεοῦ·
ἀλλ' οὐ καλὰ δένδρε' ἔθαλλεν χῶρος ἐν βάσσαις Κρονίου Πέλοπος.
τούτων ἔδοξεν γυμνὸς αὐτῷ κᾶπος ὀξείαις ὑπακουέμεν αὐγαῖς ἀελίου.
δὴ τότ' ἐς γαῖαν πορεύειν θυμὸς ὥρμαιν'

Ἐπ. β'.

Ἰστρίαν νιν· ἔνθα Λατοῦς ἱπποσόα θυγάτηρ

V. 16. *λόγῳ* Sch. PcGGuP1Ab (in m.) Va1, v. *ὄγε*. Iam veteres grammatici, quos etiam recentiores partim secuti sunt, v. 15 post *ἀέθλων* stigmen ponendam censuerunt, ut v. 16 novum enuntiatum inchoetur: at nullo pacto *πείσαις* cum *αἴτει* sive *αἴτεῖ* conciliari potest, quod certe *πείθων* dici debebat. Igitur stigmen v. 16 post *λόγῳ* collocavi, ut poeta dicat: *πιστὰ γὰρ φρονέων Διὸς ἐξήτει πανδόκῳ ἄλσει*. hoc enim *αἴτει*, si integrum est, significare intelliget, qui quidem totius loci institutam sententiam accuratius examinaverit, quamquam nullum simile novi exemplum: at vicissim *ζητεῖν* in locum verbi *αἰτεῖν* seriores inprimis substituere solent. — Ceterum *πείσαις* Va2G, reliqui *πείσας*. — V. 17. *αἴτει* AGuVa1Va2 a m. pr. M2 corr., *αἰτεῖ* RLaP1CLipGAabMabHW12 M1, *ἔτει* PcM2 (a m. pr.) Eustath. 381, 27: *λέγει δὲ καὶ Πίνδαρος ἐν Ὀλυμπιονίκαις καινῶς αἴτος τὸ ἐνδιαίτημα, οἷον Διὸς αἴτει πανδόκῳ*. cf. 907, 63 et Gregor. Cor. 219; cum his consentit schol. Vindob., recentiores schol. *ἤτησε* interpretantur; veteres grammatici quid secuti sint prorsus latet. Hartung *αἰτῶν* scripsit, ego aliquando conieci *Διὸς αἰϝεὶ πανδόκῳ ἄλσει* legendum esse, Koenius *Ἄλτει* (cf. Ol. XI 45), quam coniecturam prius comprobavi: existimabam autem huius vocis interpretatione *ἄλσει* in margine adscripta deinde aliud vocabulum excidisse, velut *Διὸς Ἄλτει πανδόκῳ Δοῦναι σκιαρόν τε φύτευμα*. — V. 18. *σκιαρόν*, *σκιερὸν* PcMaP1HLipCM2 — *ἀρετᾶν* GP1Va1Gu, *ἀρετῶν* Ab, *ἀρεταῖς* HMb, v. *ἀρετᾶς*. Fort. *ἀνθρώποις τ' ἀρετᾶν στέφανον*, ut *ξυνὸν* quemadmodum *ἀμφότερον* adverbium sit. — V. 19. *αὐτῷ* Schol. unus cum *πατρὶ* iungit, alius *αὐτῶν* legit, Hecker coniecit *αὐγᾷ*. — V. 21. *ἁμᾷ* scripsi, vulgo *ἁμᾶ*, AW2AaBd *ἅμα*. — V. 23. *ἔθαλλεν*, AMa *ἔθαλεν*. — *ἐν* om. Pc. — V. 24. *ἀελίου* Va1, *ἀλίου* M2, v. *ἁλίου*. — V. 25. *ὥρμαιν'*, Sch. *ὥρμαινεν*, Ambros. *ὥρμα*, quod Boeckh et Hartung coniecerunt. — V. 26. *Ἰστρίαν νιν* PcGP1LaAbVa1 Bodl. tres, *Ἰστριανήν*, quod etiam Sch. memorat, reliqui; Aristarchus legit: *ὥρμαιν'· Ἰστρία νιν ἔνθα κτλ.* sed elisio in fine versus praesertim novissimi tum demum ferenda,

δέξατ' ἐλθόντ' Ἀρκαδίας ἀπὸ δειρᾶν καὶ πολυγνάμπτων μυχῶν,
εὖτέ μιν ἀγγελίαις Εὐρυσθέος ἔντυ' ἀνάγκα πατρόθεν
χρυσόκερων ἔλαφον θήλειαν ἄξονθ', ἅν ποτε Ταϋγέτα
ἀντιθεῖσ' Ὀρθωσίᾳ ἔγραψεν ἱράν.

Στρ. γ'.

τὰν μεθέπων ἵδε καὶ κείναν χθόνα πνοιαῖς ὄπιθεν Βορέα
ψυχροῦ· τόθι δένδρεα θάμβαινε σταθείς.
τῶν νιν γλυκὺς ἵμερος ἔσχεν δωδεκάγναμπτον περὶ τέρμα δρόμου
ἵππων φυτεῦσαι. καὶ νὺν ἐς ταύταν ἑορτὰν ἵλαος ἀντιθέοισιν νίσεται
σὺν βαθυζώνου διδύμνοις παισὶ Λήδας.

Ἀντ. γ'.

τοῖς γὰρ ἐπέτραπεν Οὐλυμπόνδ' ἰὼν θαητὸν ἀγῶνα νέμειν
ἀνδρῶν τ' ἀρετᾶς πέρι καὶ ῥιμφαρμάτου
διφρηλασίας. ἐμὲ δ' ὧν πᾳ θυμὸς ὀτρύνει φάμεν, Ἐμμενίδαις
Θήρωνί τ' ἐλθεῖν κῦδος εὐίππων διδόντων Τυνδαριδᾶν,
ὅτι πλείσταισι βροτῶν

si oratio continuatur: vitavit hanc offensionem Hartung, qui scripsit ἐς γαῖαν βορείαν θυμὸς ὥρμα, Ἰστρία νιν ἔνθα κτλ. Ego ὥρμαιν' teneo, sed puto poetam scripsisse ἐς γαῖαν πορεύειν (h. e. πορεύεσθαι) θυμὸς ὥρμαιν' Ἴστρίαν· πρὶν ἔνθα Λατοῦς, atque ita etiam enuntiatum quod sequitur magis illustratur. Grashoff Ἰστρίαν ἴν coniecit. — V. 30. Ὀρθωσίᾳ, hiatum ut removeret Hartung πέγραψεν suspicatus est, ego et Ahrens Ὀρθωσίας coniecimus, sed dativus requiritur, qui ad verbum ἀνατιθεῖσα est referendus. Atque hiatus in dativo primae et secundae declinationis, ut est apud Homerum frequentissimus, ita etiam a Pindaro non est alienus: velut Ol. VI 82 γλώσσᾳ ἀκόνας, Nem. VI 23 Ἀγησιμάχῳ υἱέων. Isth. I 16 Καστορείῳ ἢ, ib. 61 Ἡροδότῳ ἔπορεν, videturque ipsa pronuntiatio mitigavisse asperitatem. — ἱρὰν ARMabCLipW2, v. ἱερὰν. — V. 31. καὶ κείναν Boeckh, libri κᾀκείναν vel κἀκείναν. — πνοιαῖς Sch. A AabGLipW12CMabHVa1Gu Greg. Cor. 220, vulgo πνοιᾶς. — V. 32. θάμβαινε, quod conieci, Ambr., vulgo θαύμαινε, Pc θάμαινε. Boeckh θαυμαίνει, Kayser θαύμανε. — V. 33. libri accuratius si collati essent, haud dubie etiam hic δυωδεκάγν. praeberent. — περὶ, Pc δε. — V. 34. καὶ νὺν scripsi, v. καί νυν. — νίσεται P1GPc Schol. unus, qui ἥξει interpretatur, νήσεται AbVa1, νείσσεται W12AaHGuM1, v. νίσσεται. — V. 35. διδύμνοις Hermann, LaLipW2 διδύμμοις (quam formam Λευκίμμη ex Λευκίμνη i. e. Λευκίμη ortum tuetur), διδύμοισι PcAGVa1 CP1MaAbM2, vulgo διδύμοις (H παισί διδύμοις). Olim etiam conicei διπλόοις παίδεσσι. — V. 36. ἐπέτραπεν, AMaGP1HVa1PcM2 ἐπέτρεπεν. — V. 38. πᾳ W2, πα Sch. et codd. (W1PcM2 πᾶ), nisi quod La et fort. G παρ ex interpolatione. Hartung ἐμὲ δ' ἔμπα, ego olim πᾶς scripsi, latet aliud quid, fort. ἐμὲ δ' ὁμφὰ θυμὸν ὀτρύνει.

ξεινίαις αὐτοὺς ἐποίχονται τραπέζαις,

Ἐπ. γ'.

εὐσεβεῖ γνώμᾳ φυλάσσοντες μακάρων τελετάς.
εἰ δ' ἀριστεύει μὲν ὕδωρ, κτεάνων δὲ χρυσὸς αἰδοιέ-
στατον,
νῦν γε πρὸς ἑσχατιὰν Θήρων ἀρεταῖσιν ἱκάνων ἅπτεται
οἴκοθεν Ἡρακλέος σταλᾶν. τὸ πόρσω δ' ἔστι σοφοῖς ἄβατον
κἀσόφοις. οὔ μιν διώξω· κεινὸς εἴην.

V. 40. ξεινίαις, Sch. PcM2 ξενίαις. — V. 42. δὲ χρυσὸς, W1 ὁ δὲ χρ. deinde Bβγ αἰδοιέστατος. — V. 43. γε, Sch. etiam δὲ, et sic M12. — V. 44. σταλᾶν PcGVa1P1, v. στηλᾶν. — V. 45. μιν Sch. AR (in m.) GMa, vulgo μὴν, solus Paris. ap. Momms. νιν, sed videtur scribendum οὐ μὴ διώξω. — κεινὸς, Schol. etiam κεῖνος. Hartung refinxit οὔ μιν διώξω κεῖσ' ὃς εἴη.

ΟΛΥΜΠΙΟΝΙΚΑΙ Δ.

ΨΑΥΜΙΔΙ ΚΑΜΑΡΙΝΑΙΩι

ΑΠΗΝΗι

Stropha.



Epodus.



Str. v. 4. disiunxi in duos, quemadmodum Boeckh prius, post copulavit hoc modo

Στρ.

Himer. III 1: *Χαῖρε φίλον φάος χαρίεντι μειδιόον προσώπῳ· μέλος γάρ τι λαβὼν ἐκ τῆς λύρας εἰς τὴν σὴν ἐπιδημίαν προσάσομαι, ἡδέως μὲν ἂν πείσας καὶ αὐτοὺς τοὺς λόγους λύραν μοι γενέσθαι καὶ ποίησιν, ἵνα τι κατὰ σοῦ νεανιεύσωμαι, ὁποῖος Σιμωνίδης ἢ Πίνδαρος κατὰ Διονύσου καὶ Ἀπόλλωνος.* Coniicias *Simonidis* carmen in Bacchum, *Pindari* in Apollinem respici, cf. ib. XIII 7: *τὰ δὲ σὰ νῦν δέον καὶ αὐτῷ τῷ Μουσηγέτῃ εἰκάζεσθαι, οἷον αὐτὸν καὶ Σαπφὼ καὶ Πίνδαρος ἐν ᾠδῇ κόμῃ τε χρυσῇ καὶ λύραις κοσμήσαντες, κύκνοις ἔποχον εἰς Ἑλικῶνα πέμπουσι, Μούσαις Χάρισί τε ὁμοῦ συγ-*

Rhen. VIII 154 (Cobet *ὑπὲρ αἰετοῦ*, Schneidewin *ἐξ ὑπὲρ αἰετοῦ*), nam *αἰετοῦ* legendum esse docet Galen. T. XVIII A p. 519! *οὕτω γὰρ ἐοίκασιν εἰκάζοντες οἱ παλαιοὶ καλέσαι τοῦτο τῆς οἰκίας τὸ μέρος. ἀετὸν δὲ καὶ οἶδε, καθάπερ καὶ ὁ Πίνδαρός φησιν ἐν ταῖς Πλειάσι (τοῖς Παιᾶσι)· χρύσεα δ' ὀξύπτερα αἰετοῦ ἄειδον Κληδόνες.* ita ed. Kühniana. Non debebat Starck in Philol. XIV 698. 699 falsa, quae est apud Pausaniam, lectione *ὑπερῴου* uti.

χορεύσοντα. Quae deinceps de Baccho sequuntur, iam ad illud Simonidis carmen referenda fuerint, quamquam idem XVI 7 etiam Simonidis carmen in Apollinem commemorat, ut fortasse aliquis coniiciat pariter etiam de Pindarico carmine in Bacchum esse cogitandum: sed omnino inepto huic rhetori non multum tribuendum. — Huc fortasse etiam referendum, quod dicit Menander Rhett. Gr. IX 320: *Προὔλαβε δὲ καὶ Πίνδαρος ὕμνους γράφων εἰς τὸν θεὸν (Ἀπόλλωνα) ἀξίους τῆς ἐκείνου λύρας.*

ΕΙΣ ΔΙΑ ΔΩΔΩΝΑΙΟΝ 35—38.

* 35. [29.]

⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ –

Δωδωναῖε μεγάσθενες, ἀριστότεχνα πάτερ,

36. [30.]

Schol. Soph. Trach. 175: *Εὐριπίδης δὲ τρεῖς γεγονέναι φησὶν αὐτὰς* (sacerdotes Dodonaeas)· *οἱ δὲ δύο, καὶ τὴν μὲν εἰς Λιβύην ἀφικέσθαι Θήβηθεν εἰς τὸ τοῦ Ἄμμωνος χρηστήριον, τὴν* (δὲ εἰς τὸ) *περὶ τὴν Δωδώνην, ὡς καὶ Πίνδαρος Παιᾶσιν.*

* 37. 38. [31. 32.]

Strabo VII 328: *Πότερον δὲ χρὴ λέγειν Ἑλλούς, ὡς Πίνδαρος, ἢ Σελλούς, ὡς ὑπονοοῦσιν παρ' Ὁμήρῳ κεῖσθαι, ἡ γραφὴ ἀμφίβολος οὖσα οὐκ ἐᾷ διϊσχυρίζεσθαι.* Cf. Et. M. 709. 38. Schol. Il. *π.* 234: *Πίνδαρος Ἑλλοὶ χωρὶς τοῦ σ̄ ἀπὸ Ἕλλου τοῦ δρυτόμου, ᾧ φασι τὴν περιστερὰν πρώτην καταδεῖξαι τὸ μαντεῖον.* Eust. Il. 1057, 57. — Strabo VII 328: *Καὶ οἱ τραγικοί τε καὶ Πίνδαρος Θεσπρωτίδα εἰρήκασι τὴν Δωδώνην.*

Fr. 35. Dio Chrys. Or. XII T. I 251 Emper. *ὃν πάνυ καλῶς ποιητὴς προσεῖπεν ἕτερος· Δωδ. μ. ἀρ. π. οὗτος γὰρ δὴ πρῶτος καὶ τελειότατος δημιουργὸς χορηγὸν λαβὼν τῆς αὐτοῦ τέχνης κτλ.* Pindari esse docet Plut. praec. reip. ger. c. 13: *ὁ δὲ πολιτικὸς ἀριστοτέχνας τις ὢν κατὰ Πίνδαρον καὶ δημιουργὸς εὐνομίας καὶ δίκης,* et de sera Num. vind. c. 4: *καὶ Πίνδαρος ἐμαρτύρησεν ἀριστοτέχναν ἀνακαλούμενος τὸν ἄρχοντα καὶ κύριον ἁπάντων θεόν, ὡς δὴ δίκης ὄντα δημιουργόν.* et de fac. in orbe lun. c. 13: *ἢ τίνος γέγονε ποιητὴς καὶ πατὴρ δημιουργὸς ὁ Ζεὺς ὁ ἀριστοτέχνας.* Respicit praeterea adv. Stoic. c. 14. Symp. Quaest. I 2, 5 et Clem. Alex. Str. V 710, Euseb. praep. Ev. XIII 675 B. Ex his locis coniicias versum hunc addendum esse: *Δαμιοεργὲ δίκας τε καὶ εὐνομίας.*

---

39. [33.]

⏑ ± ⏑ ± ⏑ ⏑ – ± ⏑ ⏑ – ⏑ ⏑ – –
⏑ ± ⏑ ⏑ – ⏑ – ⏑ ⏑
± ⏑ – ⏑ ± ⏑ ⏑ – – ± ⏑ ⏑ – – ± ⏑ ⏑ – ⏑ ⏑ – ± ⏑ ⏑ – ⏑ ⏑ ⏑ .

Τί δ' ἔλπεαι σοφίαν ἔμμεναι, ᾗ τ' ὀλίγον τοι
ἀνὴρ ὑπὲρ ἀνδρὸς ἰσχύει;
οὐ γὰρ ἔσθ' ὅπως τὰ θεῶν βουλεύματ' ἐρευνᾶσαι βροτέᾳ
φρενί· θνατᾶς δ' ἀπὸ ματρὸς ἔφυ.

40. [34.]

Schol. Apoll. Rhod. I 1086: *Εἴληφε δὲ τὰ περὶ τῶν ἀλκυόνων παρὰ Πινδάρου ἐκ Παιάνων.* et deinde *εὐλόγως δὲ ὅσσαν εἶπε τὴν ἀλκυόνος φωνήν· ὑπὸ γὰρ Ἥρας ἦν ἀπεσταλμένη, ὥς φησι Πίνδαρος.*

41. [35.]

Tzetz. ad. Lycophr. 440: *Οἱ μάντεις οἱ γνήσιοι οἱ ἐθάδες τοῦ ἐν Δηραίοις τόπῳ Ἀβδήρων τιμωμένου Ἀπόλλωνος, οὗ μνημονεύει καὶ Πίνδαρος ἐν Παιᾶσιν.*

42. * 43. [36. 37.]

Plut. de musica c. 15: *Πίνδαρος δ' ἐν Παιᾶσιν ἐπὶ τοῖς Νιόβης γάμοις φησὶ Λύδιον ἁρμονίαν πρῶτον διδαχθῆναι (ὑπὸ Ἀνθίππου).* — Ex eodem paeane haud dubie est, quod dicit Aelian. Var. Hist. XII 36: *Ἀλκμὰν δέκα* (Niobae liberos), *Μίμνερμος εἴκοσι, καὶ Πίνδαρος τοσούτους.* Gellius Noct. Att. XX 7: „Nam Homerus pueros puellasque eius (Niobae) bis senos dicit fuisse, Euripides bis septenos, Sappho bis novenos, Bacchylides et Pindarus bis denos."

44. 45. 46. 47. 48. [38. 40. 41. 42. 39.]

Quae ex Didymi commentariis in Paeanas proferuntur, ea ad res a poeta in his carminibus tractatas spectare consentaneum est, itaque huc pertinet I. Ammon. 70: *Θηβαῖοι καὶ Θηβαγενεῖς διαφέρουσιν,*

Fr. 39. Stob. Ecl. Phys. II 1, 8: *Πινδάρου Παιάνων· Τί* (V *ἔτι*) *δ' ἔλπεαι . . . φρενί* (sic VAE, v. *φρονεῖ*.) Clemens Al. Strom. V 726 atque Euseb. Praep. Ev. XIII 688 eadem sed memoriter ut videtur afferunt: *ὅ τι ἔλπεται* (codd. et Eus. *τί ἔλπεαι*) *σοφίαν ὀλίγαν τοι* (Eus. *ὀλίγον τι*) *ἀνὴρ ὑπὲρ ἀνδρὸς ἔχειν*; *ζαθέων* (codd. et Eus. *τὰ θεῶν*) *βουλεύματα ἐρευνᾶσαι βροτέᾳ φρενὶ δύσκολον*, additis in fine praeterea verbis *θνατᾶς δ' ἀ. μ. ἔφυ.* — V. 1. *ἔμμεναι, ᾗ τ'* Boeckh, Stob. *εἶναι, ᾗ.* — *ὀλίγον τοι* scripsi, ap. Stob. *ὀλίγον*, sed VA *ὀλίγοι*, H *ὀλίγοιν.* — V. 3. *ἐρευνᾶσαι*, Boeckh coni. *ἐρευνάσει*, sed ne ita quidem tollitur orationis scabrities: exspectaveram certe *οὐ γὰρ ἔσθ' ὅστις τὰ θεῶν βουλεύματ' ἐρευνάσει* (vel *ἐρευνάσαι*) *βροτεᾷ φρενί, θνατᾶς δ' ἀπὸ ματρὸς ἔφυ.* Ceterum Meineke apud Stobaeum suspicatus est in lemmate scribendum *Παιάνων ε'*. h. e. *in quinto Paeane*, usus varietate scripturae *ἔτι*, non recte.

καθὼς Δίδυμος ἐν ὑπομνήματι τῷ πρώτῳ τῶν Παιάνων Πινδάρου φησίν, καὶ τὸν τρίποδα ἀπὸ τούτου Θηβαγενεῖς πέμπουσι τὸν χρύσεον εἰς Ἰσμήνιον ἱερόν (ita em. Koenius, v. Ἰσμηνὸν πρῶτον) κτλ. — II. Schol. Pind. Ol. I 26: *Περὶ δὲ τῆς Δωριστὶ ἁρμονίας εἴρηται ἐν Παιᾶσιν, ὅτι Δώριον μέλος σεμνότατόν ἐστιν.* — III. idem ad Ol. II 70: *ἐν δὲ τοῖς Παιᾶσιν εἴρηται περὶ τοῦ χρησμοῦ τοῦ ἐκπεσόντος Λαΐῳ, καθὰ καὶ Μνασέας ἐν τῷ περὶ χρησμῶν γράφει· Λάϊε Λαβδακίδη, ἀνδρῶν περιώνυμε πάντων.* — IV. Idem ad Pyth. VI 4: *ἐν τῇ πολυχρύσῳ Ἀπολλωνίᾳ νάπῃ, περὶ ἧς ἐν Παιᾶσιν εἴρηται* et infra: *ἐκεῖ γὰρ ἡ Ἀπολλωνία νάπη, περὶ ἧς ἐν Παιᾶσιν εἴρηται.* — V. Idem ad Pyth. XII 45: *ἐν γὰρ τῷ Κηφισσῷ οἱ αὐλητικοὶ κάλαμοι φύονται. εἴρηται δὲ καὶ ἐν Παιᾶσι περὶ αὐλητικῆς.*

IV.

ΔΙΘΥΡΑΜΒΟΙ.

49. [43.]

Schol. Pind. Ol. XIII 25: *Ὁ Πίνδαρος δὲ ἐν μὲν τοῖς Ὑπορχήμασιν ἐν Νάξῳ φησὶν εὑρεθῆναι πρῶτον διθύραμβον, ἐν δὲ τῷ πρώτῳ τῶν Διθυράμβων ἐν Θήβαις, ἐνταῦθα δὲ ἐν Κορίνθῳ.* cf. etiam Procl. ap. Phot. Bibl. 239.

50. [44.]

.. ⏑ ⏑ – ⏑ ⏑ – – ± ⏑ ⏑ – ⏑ ⏑ –

± ⏑ – . . . . . .

Ἀλόχῳ ποτὲ θωραχθεὶς ἔπεχ' ἀλλοτρίᾳ
Ὠαρίων.

51. [52.]

Strabo IX 404: *Καὶ ἡ Ὑρία δὲ τῆς Ταναγραίας νῦν ἐστι, πρότερον δὲ τῆς Θηβαΐδος· ὅπου ὁ Ὑριεὺς μεμύθευται καὶ ἡ τοῦ Ὠρίωνος γένεσις, ἣν φησι Πίνδαρος ἐν τοῖς Διθυράμβοις* (cf. Eust. 264, 44). Hygin. Poet. Astron. II 34: „Aristomachus autem dicit quendam Hyriea

Fr. 50. Et. M. 460, 35: *Θώραξ . . . ἀφ' οὗ καὶ τὸ ἐμπίμπλασθαι οἴνου θωράσασθαι λέγεται . . . καὶ Πίνδαρος Διθυράμβων πρώτῳ· Ἀλόχῳ ποτὲ θωρηχθεὶς ἐπ' ἀλλοτρίᾳ* (Sorb. *ἀλόγῳ ποτε θεωραχθεὶς κτλ.*). Auctius Cram. An. Par. IV 194, 7: *Ὠρίων, ἐπεὶ καὶ Ὠαρίων ἐν συστολῇ καὶ Πίνδαρος . . . Ἀλλ' οὐχ ὅποτε θωραχθεὶς ἔπεχ' ἀλλότριαϊ ωαρίων.* Adde Meletium ap. Cram. An. Ox. III 89, 29: *Πίνδαρος διθυράμβῳ· ἀλόγχω ποτὲ θοριχθεὶς ἐπεῖχεν ἀλλότρια* (cod. Mon. *ἔπεχε*, latina versio *ἀλόχω ποτὲ θωραχθεὶς ἐπέχεε ἀλλότρια*). — V. 2 *Ὠαρίων* tribus syllabis proferendum, nisi *Ὠαρίων* praestat.

fuisse Thebis, Pindarus autem in insula Chio. Hunc autem cum Iovem et Mercurium hospitio recepisset, petisse ab his, ut sibi aliquid liberorum nasceretur: itaque, quo facilius petitum impetraret, bovem immolasse et his pro epulis apposuisse: quod cum fecisset, poposcisse Iovem et Mercurium quod corium de bove fuisset detractum, et quod fecerant urinae in corium infudisse, et id sub terra poni iussisse: ex quo postea natum puerum, quem Hyrieus e facto Uriona nomine appellaret: sed vetustate et consuetudine factum est, ut Orion vocaretur. Hic dicitur Thebis Chium venisse, et Oenopionis filiam Meropen per vinum cupiditate incensus compressisse etc."

52. [53.]

. . . ⏑ ⏑ – ⏑ ⏑ ×

⏓ ⏑ ⏑ – ⏑ ⏑ – ⏓ ⏑ – ⏑ ⏓ ⏑ ⏑ –

. . . . . *Τρεχέτω δὲ μετά*
Πληϊόναν, ἅμα δ' αὐτῷ κύων (λεοντοδάμας.)

Fr. 52. Schol. Pind. Nem. II 16 ex Aristarcho: *ἐν τούτοις μὲν ταῖς Πλειάσι φησὶ τὸν Ὠρίωνα ἐπέχειν, ἐν ἄλλοις δὲ τὴν Πλειάδα φησὶν αὐτὸν διώκειν, ὑποτιθέμενος τὸ σύστημα τῶν Πλειάδων ἐν ζώδιον.* et: *καὶ ὅτε μὲν Πλειάδας καλεῖ πληθυντικῶς, ὅτε δὲ Πληϊόνην ὡς μίαν: τρεχέτω δὲ μετὰ Πληϊόναν, ἅμα δ' αὐτῷ κύων. δοκεῖ γὰρ κατ' αὐτὸν τὸν Πίνδαρον ἐρασθῆναι αὐτῆς ὁ Ὠρίων, καὶ διώκειν αὐτὴν ἐπὶ πολλοῖς χρόνοις. ὑπομνήματα δὲ τούτων Ζεὺς κατηστέρισε, παρὸ δή φησιν· ὁ Ὠρίων ἐπιὼν ταῖς Πλειάσι.* His ultimis explicationem illius versus contineri animadvertit Boeckh, itaque *τρέχων* coniecit, sed potius hic *ἕπίτω* legendum: Iovis enim sunt verba. *Λεοντοδάμας* Boeckh probabiliter adiecit ex Luciano pro imag. c. 18: *ὁ τὸν Ὠρίωνος κύνα ἐπαινῶν ἔφη ποιητὴς λεοντοδάμαν αὐτόν.* Huc pertinet Et M. 675, 36: *λέγει δὲ Πίνδαρος περὶ τοῦ καταστερισμοῦ αὐτῶν, ὅτι τῆς Πληϊόνης πορευομένης μετὰ τῶν θυγατρῶν κατὰ τὴν Βοιωτίαν συναντῆσαι αὐτῇ Ὠρίωνα· εἶτα ἐρασθεὶς ὥρμησε πρὸς τὸ ἁρπάσαι, τὴν δὲ φεύγουσαν μετὰ τῶν θυγατρῶν Ὠρίων ἐδίωκε, γενέσθαι δὲ αὐτῶν τὸν δρόμον πέντε ἔτη ἀδιάλειπτον· τὸν δὲ Δία διὰ τὴν κακοπάθειαν αὐτῶν οἱονεὶ μνήματα καταστερίσαι τὰς Πλειάδας φευγούσας τὸν Ὠρίωνα, ὅς ἐστιν ἐνιαυτός.* cf. Eust. Od. 1712, 49. Eudoc. 339.

53. [45.]



Ἴδετ' ἐν χορόν, Ὀλύμπιοι,

Fr. 53. Dionys. Hal. de comp. verb. c. 22: *ποιητῶν μὲν οὖν Πίνδαρος ἀρκέσει παρακληθείς, συγγραφέων δὲ Θουκυδίδης· κράτιστοι γὰρ οὗτοι ποιητῶν τῆς αὐστηρᾶς ἁρμονίας· ἀρχέτω δὲ Πίνδαρος καὶ τούτου διθύραμβός τις, οὗ ἐστιν ἀρχή· Ἴδετ' ἐν χορὸν κτλ.* et deinde, postquam totum locum adscripsit, v. 1—8. singulatim examinans repetit. Codices collati sunt Parisinus n. 1741 ap. Schneidewinum (P), Darmstadiensis a Werfero in Actis Monac. (D), Guelpherbytanus a Schneidero (Gu), Monacensis a Goellero (M), deinde tres libri, duo Regii, tertius Colbertinus ab Hudsono, qui quidem hic videtur tantum Parisino illo libro n. 1741 usus esse (signavi littera H), porro alius codex collatus a Gerhardo (signavi G, fort. Vratislaviensis), denique libri Victoriani tres ut Goellero videtur (R v l), sed imprimis littera l potius indicari plerumque videtur, quomodo Victorius corrigendum censuerit, ita ut his lectionibus Victorianis non multum sit tribuendum. — V. 1. *ἴδετ'* codd., ut videtur, omnes, praeter vl, qui ut vulgo *δεῦτ'*, *ἴδετε* verum esse ostendit ipse Dionysius, cum dicit: *τὸ πρῶτον αὐτῷ κῶλον ἐκ τεσσάρων σύγκειται λέξεως μορίων, ῥήματος, καὶ συνδέσμου καὶ δυοῖν προσηγορικοῖν. τὸ μὲν οὖν ῥῆμα καὶ ὁ σύνδεσμος συναλοιφῇ κερασθέντα οὐκ ἀηδῆ*

ἔπι τε κλυτὰν πέμπετε χάριν, θεοί,
πολύβατον οἵτ' ἄστεος ὀμφαλὸν θυόεντα
ἐν ταῖς ἱεραῖς Ἀθάναις
οἰχνεῖτε πανδαίδαλόν τ' εὐκλέ' ἀγοράν·
ἰοδετᾶν λάβετε στεφάνων
τῶν ἐαριδρέπτων λοιβάν, Διόθεν τέ με σὺν Ἀγλαΐᾳ
ἴδετε πορευθέντ' ἐς ἀοιδὰν δεύτερον
ἐπὶ κισσοδέταν θεόν,
τὸν Βρόμιον Ἐριβόαν τε βροτοὶ καλέομεν.
γόνον ὑπάτων μὲν πατέρων μελπέμεν

πεποίηκε τὴν ἁρμονίαν. Cf. Cram. An. Ox. I 169, 19: *ἡ ἐν . . . κατὰ δὲ Βοιωτοὺς καὶ αἰτιατικῇ* (*συντάσσεται*)· *οὕτως γὰρ ἔχει καὶ τὸ παρὰ Πινδάρῳ· Ἴδετε δ' ἐν χ. Ὀλ.* et 176, 5: *Βοιωτοὶ γὰρ τὴν ἐν πρόθεσιν συντάσσουσιν αἰτιατικῇ, Ἴδετ' ἐν χ. Ὀλ. Πίνδαρος*, et Gramm. in Mus. Philol. Cantabr. IV 112: *ὡς παρὰ Πινδάρῳ· καλεῖτ' ἐς χορὸν Ὀλύμπιοι ἀντὶ τοῦ καλεῖσθε.* cf. Boisson. An. III 239 (ubi *Ὀλύμπια*). *ἐν χορὸν* affert Gregor. Cor. 355. Ceterum P *ἔν σχορόν.* — V. 2. *πέμπετε*, P *πέμπεται.* — V. 4. *Ἀθάναις* Boeckh, vulgo *Ἀθήναις.* — V. 5. *ἀγοράν· ἰοδετᾶν*, Hermann (vid. Schneidewin Praef. Pindari ed. 1855 p. IX) scripsit *πανδαίδαλόν τ' εὐκλέ' ἀν' ἀγορὰν ἰοδετᾶν λάχετε στεφάνων τὰν ἐαρίδρεπτον λοιβάν*: sed haec verborum conformatio aperte Dionysii auctoritati adversatur: verba *πανδαίδαλόν τ' εὐκ. ἀγ.* explicandi gratia prioribus addita sunt, inde a v. 6 poeta deos denuo invocat. — V. 6. *ἰοδετᾶν* Boeckh, vulgo *ἰοδετῶν* et sic PR, *ἰοδέτην* Ald. GuH, *ἰαδέτων* GD, *ὅδ' ἐγὼν* l. — *λάβετε* vulgo et sic Gu primum, sed deinde *λάχεται*, GP(H)DM Ald. *λάχετε*, l *λάχει.* Neutra scriptura probabilis, conieci *λάετε*, cf. Hesych.: *λάετε, σκοπεῖτε, βλέπετε.* — *στεφάνων*, G *στέφανον.* — V. 7. *τῶν ἐαριδρέπτων*, P(H)Gu *τ' ἀντ' ἐαριδρέπων*, Ald. *τάν τ' ἔαρι·δρέπων*, D *τάν τ' ἐαριδρέπτων*, M *τάν τε ἀριδρέπτων*, R *τάν τε ἐριδρέπτων*, G *τάν τε ἀγριδρέπτων.* Infra Ald. *τ' αὐτ' ἔαρι δρέπων*, l *τ' ἀντ' ἔαρι δρόπων*, et R *ταν.* — *λοιβάν, ἀοιδὰν* DGM et Gu altero loco, Boeckh scripsit *ἰοδετᾶν λάχετε στεφάνων τᾶν τ' ἐαριδρέπτων λοιβᾶν*, Hermann olim *ἰοδέτων λάβετε στεφάνων τὰν ἐαρόδρεπτον λοιβάν* vel *ἰοδέταν λάβετε στέφανον τᾶν γ' ἐαριδρέπτων λοιβᾶν.* — *σὺν Ἀγλαΐᾳ* vel *ἀγλαΐᾳ* libri omnes, ut videtur. — V. 8. *πορευθέντ' ἐς ἀοιδὰν* Hermann, vulgo *πορευθέντες ἀοιδαῖς*, sed PGu (priore l) Ald. *ἀοιδαὶ*, DRl *ἀοιδὰν*, nisi forte aeolica usus forma poeta scripsit *ἐν ἀοιδαίς.* Alii aliter conformaverunt, velut *σὺν ἀγλαᾷ ἴδετε πορευθέντ' ἀοιδᾷ* Boeckh, *σὺν ἀγλαΐᾳ ἴδετε πορευθέντ' ἐν ἀοιδαῖς* Heyne, *πορευθέντες ἀοιδαῖς· δεῦτε βοᾷ* permire Goram. — V. 9. *ἔπι, ἐπὶ τὸν* P(H)GuG Ald. probante Schneidewino. — *κισσοδέταν*, P corr. *κισσοδόταν* (a pr. m. *κισσοδόμ*), HvGu *κισσοδόταν*, MGD1 *κισσοδαῖ*, Ald. *κισσουδὲ ταν.* — *θεόν, τὸν*, Gu *θνητὸν*, R *θνατόν.* — V. 10. *τὸν Βρόμιον Ἐριβόαν τε* scripsi, et sic H, vulgo *ὃν Βρόμιον ὃν Ἐριβόαν*, PGu Ald. *τὸν βρόμιον τὸν ἐριβόαν τε.* Boeckh *τὸν Βρόμιον τὸν Ἐριβόαν καλέομεν*, eiecto *βροτοὶ* quod omnes libri tueri videntur. — V. 11. affert Scholiast. Isthm. VII 76: *πληθυντικῶς δὲ εἶπεν ἀντὶ τοῦ ἀδελφῷ τῷ Ποσειδῶνι· σύνηθες δὲ τὸ σχῆμα Πινδάρῳ· ὑπάτων μέν τε πατέρων γυναικῶν τε Καδμειᾶν ἀντὶ τοῦ Διὸς καὶ Σεμέλης.* — *ὑπάτων μὲν* DH, *ὑπάτωμεν* P, *μὲν ὑπάτων* Ald., *ὑπάτων γόνον μὲν* Gu, *ὑπάτων τε* vulgo, antiqua varietas *μὲν* et *τε* fuisse videtur. — *μελπέμεν* Boeckh, *μέλπομεν* vulgo, *μέλπε* PHGu Ald., *μέν τε* l (idem etiam *μέλπομεν*). Hermann scripsit

γυναικῶν τε Καδμειᾶν ἔμολον.
ἐν Ἀργείᾳ Νεμέᾳ μάντιν οὐ λανθάνει,
φοινικοεάνων ὁπότ' οἰχθέντος Ὥρᾶν θαλάμου
εὔοδμον ἐπαΐωσιν ἔαρ φυτὰ νεκτάρεα.
τότε βάλλεται,
τότ' ἐπ' ἀμβρόταν χέρσον ἐραταί
ἴων φόβαι ῥόδα τε κόμαισι μίγνυται,
ἀχεῖ τ' ὀμφαὶ μελέων σὺν αὐλοῖς,
ἀχεῖ τε Σεμέλαν ἑλικάμπυκα χοροί.

καλέομεν, ὑπάτων μὲν πατέρων γόνον μελπόμενοι, γυναικῶν τε Καδμείαν Σεμέλαν. non recte: nam καλέομεν μελπόμενοι non aptum, quandoquidem oportebat poetam hic de se suisque consiliis aperte dicere, itaque μελπέμεν ἔμολον convenientissimum: neque Σεμέλαν ferri potest, id quod vel scholiastae locus, quem modo adscripsi, arguit: foret tunc Σεμέλαν plane tollendum tanquam interpretamentum: sed tueor ἔμολον, quamquam dici poterat πορευθέντ' ἐς ἀοιδὰν ... μελπέμεν, oratione minus quidem plana et commoda. — V. 12. τε fort. om. H. — Καδμειᾶν Schol. Isthm., ut Boeckh coniecerat, v. Καδμείαν. — ἔμολον HGu Ald., εμολον P, vulgo Σεμέλαν, Ml Σεμέλην (sed in l corr. ἔμολον, si vera traduntur), D μέλαν. Fort. Καδμειᾶν μόλον. — V. 13. Ἀργείᾳ Heyne, v. Ἀργέᾳ, PHDM Ald. ἀργεανεμεω. Retinui Heynianam lectionem, quamvis ille verum non sit assecutus: ipse in epecdosi suspicatus eram ἐν Ἀργείᾳ Νέμεα μάντιν οὐ λανθάνει (i. e. *non sinit oblivisci*) φοίνικος, ἑανᾶν ὁπότ' οἰχθέντος Ὥρᾶν θαλάμου, sed Nemea omnino aliena ab hoc loco, in librorum lectione haud dubie ἐναργέα latet, sed ambiguum est, quo sit referendum, potest cum prioribus iungi, velut ἐναργέα θεόν. | ἐμὲ δ' ὧν μάντιν οὐ λανθάνει, sed poterat poeta etiam dicere: ἐναργέα μὲν σάματ' οὐ λανθάνει. — V. 14. φοινικοεάνων H. A. Koch correxit, nisi quod φοινικοεανῶν scripsit, vulgo φοίνικος ἔρνος, sed MP GGuD Ald. ἑανῶν, l φοινικοεάων, unde iam olim ἑανᾶν proposui. — Ὥρᾶν, PMD ὥραν. — V. 15. ἐπαΐωσιν, l ἐπάγοισιν. Conieci εὐόδμου ἐπαΐωσ' ἔαρος, cf. Alcaei fr. 45 Ἦρος ἀνθεμόεντος ἐπάιον ἐρχομένοιο. — V. 16. βάλλεται, DGl βάλλετε, Hermann, θάλπεται, — V. 17. ἀμβρόταν H, ἀμσβρόταν P, ἄμβροτον vulgo. — χέρσον, PH χθόν'. — ἐραταί GM1, ἐρατὰν PGu Ald., ἐρωτὰν H, vulgo ἐρατά. — V. 18. ἴων, ἴον H Ald. — φόβαι G, Ml φοβαί, vulgo φόβα. Corrupte P^1H Ald. φοβερά τε κόμαισι. — V. 19. ἀχεῖ τ' ὀμφαὶ scripsi, et sic Hermann ap. Schneidewinum, vulgo ὑμνεῖτε ὀμφᾷ, PH οἰχνεῖτ' ὀμφαῖς, M Ald. οἰχνεῖτ' ὀμφᾷ, D οἰχνεῖτ' ὀμφά, Gu οἰχεῖτ' ὀμφαῖς, etiam G, οἰχνεῖτ', v (vel l?) ἀχεῖτε ὀμφᾷ. apud Apollon. Dysc. de Synt. 223: ὡς Βοιώτιόν ἐστιν ἔθος, ὅμοιον τῷ παρὰ Πινδάρῳ· Ἀχεῖται ὀμφαὶ μελέων σὺν αὐλοῖς, unde Hermann olim ἀχεῖταί τ' ὀμφαὶ scripsit. — V. 20. ἀχεῖ τε scripsi, atque ita etiam Hermann apud Schneidewinum, vulgo ὑμνεῖτε, PHM οἰχνεῖτε, D οἰχνεῖται. Hermann olim ἀχεῖται Σεμέλαν.

54. [46.]

_ ⏑ ⏑ _ ⏑ ⏑ _ ⏑ ⏑ _ ⏑ ⏑ _ ⏑ ⏑

_ ⏑ ⏑ _ ⏑ ⏑ _ _ ⏑ ⏑ _ ⏑ ⏑

Ὦ ταὶ λιπαραὶ καὶ ἰοστέφανοι καὶ ἀοίδιμοι,
Ἑλλάδος ἔρεισμα, κλειναὶ Ἀθᾶναι, δαιμόνιον πτολίεθρον.

Fr. 54. Schol. Arist. Acharn. 673: *παρὰ τὰ ἐκ τῶν Πινδάρου Διθυράμβων· Αἱ λιπαραὶ καὶ ἰοστέφανοι Ἀθῆναι.* Suid. v. *ἰοστέφανοι* eadem omisso carm. titulo, et Zonar. 1114: *Πίνδαρος, ἰοστέφανοι Ἀθῆναι.* Auctius Schol. Arist. Nub. 299: *Πίνδαρος· Λιπαραὶ καὶ ἀοίδιμοι, Ἑλλάδος ἔρεισμα, κλειναὶ Ἀθᾶναι,* ita Bekker, sed Dübner nescio qua auctoritate *ὦ ταὶ λιπαρ.* nihil monens, nisi *Ἀθῆναι* in V et Ald. legi. Denique plane redintegrat Aristidis Schol.: Aristides enim I 319: *ἀκούων τὸ τῆς σοφίας πρυτανεῖον καὶ τὴν τῆς Ἑλλάδος ἑστίαν καὶ τὸ ἔρεισμα.* ubi Schol. III 341: *τὸ δὲ ἔρεισμα πολλοὶ μὲν καὶ ἄλλοι καὶ Πίνδαρος δέ φησιν· ἔρεισμ' Ἀθήνας δαιμόνιον πτολίεθρον*, D *Ἀθηναίων* (ap. Frommel 115 M *Ἀθηνᾶ εὐδαιμ.*, b *Ἀθάνας δαιμ.*). Cf. Aeschin. Epist. IV 474 Bekk.: *καὶ εἰ μηδενὸς ἔτι τῶν παρὰ Μαντίᾳ μνημονεύεις, ἔν γοῦν ταῖς ἐκκλησίαις Μελανώπου ἑκάστοτε ἀκούεις λέγοντος· Αἵ τε λιπ. καὶ ἀοιδ. Ἑλλ. ἔρεισμ' Ἀθᾶναι. Καὶ ὅτι Πινδάρου τοῦ Θηβαίου ἔπος τοῦτό ἐστι λέγοντος, καὶ ὅτι ἐξημίωσαν αὐτὸν Θηβαῖοι τοῦτο ποιήσαντα τὸ ἔπος, οἱ δὲ ἡμέτεροι πρόγονοι διπλῆν αὐτῷ τὴν ζημίαν ἀπέδοσαν, μετὰ τοῦ καὶ εἰκόνι χαλκῇ τιμῆσαι.* Inde Boeckh recepit *αἵ τε*, at cod. a *ὦ τε*, itaque iam dudum correxi *ὦ ταί*, coll. Arist. Eqq. 1329: *Ὦ ταὶ λιπαραὶ καὶ ἰοστέφανοι καὶ ἀριζήλωτοι Ἀθῆναι*, ubi Schol. *ἀπὸ Πινδάρου παρῴδηται.* firmatque Eustath. prooem. 28: *ἐχθρὰ δέ φασι φρονούντων ἀλλήλοις Ἀθηναίων καὶ Θηβαίων, ἐπεὶ ἔγραψέ που· Ὦ ταὶ λιπαραὶ καὶ μεγαλοπόλιες Ἀθῆναι* (conglutinavit cum initio Pyth. VII)· *κατὰ δέ τινας, ἐπεὶ ἔρεισμα Ἑλλάδος ἔφη τὰς Ἀθήνας, ἐζημίωσαν αὐτὸν οἱ Θηβαῖοι χιλίαις δραχμαῖς, ἃς ἐξέτισαν ὑπὲρ αὐτοῦ Ἀθηναῖοι ὡς φιλαττικοῦ.* Celebrem locum praeterea respiciunt Isoc. de antid. 166: *Πίνδαρον μὲν τὸν ποιητὴν οἱ πρὸ ἡμῶν γεγονότες ὑπὲρ ἑνὸς μόνον ῥήματος, ὅτι τὴν πόλιν ἔρεισμα τῆς Ἑλλάδος ὠνόμασεν, οὕτως ἐτίμησαν, ὥστε καὶ πρόξενον ποιήσασθαι καὶ μυρίας αὐτῷ δοῦναι δραχμάς.* Plut. vit. Thes. c. 1, de glor. Athen. c. 7, Apophth. Lac. div. c. 6, Lucian. Demosth. Enc. c. 10, Philostr. Imag. II 12, Pausan. I 8, 4, Athen. V 187 D, Iulian. Or. I 8 C, Damascius ap. Suid. v. *Σουπηριανός*, Liban. T. III 27 et rursus III 407 ed. Reiske, Schol. Hesiod. Op. 412, Schol. Aristid. III 600, Cram. An. Ox. IV 157, Arsen. 421, Eust. Il. 284, 5, Schol. Pind. Pyth. II inscr. Vit. Pind. cod. Vrat. T. II 9 ed. Boeckh, Thomas M. vit. Pind. ib. 4. Fuit autem initium dithyrambi, et his ipsis verbis summa laudum videtur comprehensa fuisse, siquidem Libanius loco priore dicit *μισθὸς τοῦτό γε τῶν εἰς τὴν πόλιν ἐπαίνων βραχέων δή τινων ὄντων.* Boeckh autem coniecit plura ex hoc carmine petiisse Himerium Or. XVI 2 de Constantinopoli: *Καί μοι δοκεῖ* (Boeckh *δοκῶ*) *καὶ τῆς Πινδάρου λύρας λαβὼν μέλος ἐκεῖθεν εἰς αὐτὴν ἀναφθέγξασθαι, εἰ καὶ τῆς Ἑλλάδος μὲν εἰπεῖν ἔρεισμα μικρόν, ὅπερ εἰς τὰς Ἀθήνας ἦσται Πινδάρῳ, πάσης δὲ τῆς ὑφ' ἥλιον ἥδιστον ἄγαλμα. σὲ μὲν καὶ Ποσειδῶν ὁ βασιλεὺς ὁ θαλάσσιος γλαυκοῖς περιβάλλει τοῖς κύμασιν οἷά τινα νύμφην Ναΐδα, καὶ πανταχόθεν περιπτύσσει καὶ γέγηθε, σὲ δὲ Νηρηΐδων ἁλιπορφύρων χοροὶ ἄκροις ἐπισκιρτῶντες τοῖς κύμασι κύκλῳ περὶ πᾶσαν χορεύουσι κτλ.* Sed hoc satis incertum.

* 55. [196.]

. . . . ⏑ ⏑ – ⏑ ⏑ – ‖ – ⏑ ⏑ – ⏑ ⏑ – –

– ⏑ ⏑ – ⏑ ⏑ –

Ὅθι παῖδες Ἀθαναίων ἐβάλοντο φαεννάν
κρηπῖδ' ἐλευθερίας.

* 56. [225.]

– ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ ⏒

– ⏑ ⏑ – ⏒ – ⏑ ⏑ – ⏑ ⏑ –

– ⏑ ⏑ – ⏑ ⏑ – ⏒ – ⏑ ⏑ – ⏑ ⏑ ⏒

Κλῦθ', Ἀλαλὰ Πολέμου θύγατερ,
ἐγχέων προοίμιον, ᾇ θύεται
ἄνδρες (ὑπὲρ πόλιος) τὸν ἱρόθυτον θάνατον.

Fr. 55. Est haud dubie ex eodem *dithyrambo*, ex quo fr. 54, vid. Plut. de glor. Athen. c. 7: *ἐν τούτοις Πίνδαρος ἕρεισμα τῆς Ἑλλάδος προσεῖπε τὰς Ἀθήνας, οὐχ ὅτι . . . ἀλλ' ὅτι πρῶτον, ὡς φησιν αὐτός, ἐπ' Ἀρτεμισίῳ παῖδες Ἀθηναίων ἐβ. φαεινὴν κρ. ἐλ., ἐπί τε Σαλαμῖνα καὶ Μυκάλῃ καὶ Πλαταιαῖς, ὥσπερ ἀδαμάντινοι στηρίξαντες τὴν ἐλευθερίαν τῆς Ἑλλάδος παρέδοσαν τοῖς ἄλλοις ἀνθρώποις.* ubi certe verba *ὥσπερ ἀδαμάντινοι* (Hartung *ὥτ' ἀδαμαντίνοις ἄλοις στηρίξαντες*) ex hoc ipso Pindari carmine petita videntur. Legitur iterum ap. Plut. vit. Themist. c. 8: *ὃ δὴ καὶ Πίνδαρος οὐ κακῶς ἔοικε συνιδὼν ἐπὶ τῆς ἐπ' Ἀρτεμισίῳ μάχης εἰπεῖν· ὅθι* (sic Stephanus, libri *ὅτι*) *π. Α. ἐ. φαεννὰν* (Bc *φανερὰν*, ia *φαενὰν*) *κ. ἐλ.* et de Herod. malign. c. 34 ubi item *ὅτι* (D *ὅθι*), et sine poetae n. de sera numinis vind. c. 6 ubi *ὅθι*. Respicit Aristid. II 251: *ὡς φησι Πίνδαρος, κρηπῖδα τῆς ἐλευθερίας τοῖς Ἕλλησι βαλλόμενος* (*Θεμιστοκλῆς*), ubi sch. III 600 *ἔρεισμα Ἑλλάδος* comparat. — V. 1. *Ἀθαναίων* Boeckh, v. *Ἀθηναίων*. — V. 2. *κρηπῖδ'*, in proecdosi scripsi *κρηπίδ'*.

Fr. 56. Plut. de Glor. Athen. c. 7 de imperatoribus Atticis, Miltiadis et Themistocletibus: *Ἀρήιος ὁ κῶμος οὗτος, ἐκ γῆς ἅμα φάλαγξι καὶ στόλοις ἐκ θαλάσσης καὶ μεμιγμένοις σκύλοις καὶ τροπαίοις βεβριθώς· Κλῦθι, Ἐννὼ* (Ald. Bas. *ἄννα ἐγώ*, E *ἄννα . . . γω*, G *ἀνάγω*) *Πολέμου θ. ἐ. π. ἀμφύετε* (vel *ἐνφύετε*), *ἄνδρες, τὸν ἱερόθυτον θάνατον, ὡς ὁ Θηβαῖος Ἐπαμινώνδας εἶπεν, ὑπὲρ πατρίδος καὶ τάφων καὶ ἱερῶν ἐπιδιδόντες ἑαυτοὺς τοῖς καλλίστοις καὶ λαμπροτάτοις ἀγῶσιν.* Xylander et Wyttenbach *ὡς ὁ Θηβαῖος Πίνδαρος* coniecerunt (Hartung *ποιητὴς* scripsit), Haupt *ὁ Θηβαῖος* deleto vocabulo *Ἐπαμινώνδας*, contra C. Fr. Hermann vitium verbo *εἶπεν* inesse putat, et *ἔπεσεν* coniecit, at Epaminondae memoria omnino aliena ab hoc loco, et Pindari haec esse etiam aliunde confirmatur, maxime scholio Aesch. Pers. v. 49 quod Haupt edidit, ubi cum vulgo *στεῦνται* legitur, scholiasta ille *στεῦται* legit: *κλῦθι αλλα πολέμου θύγατερ ἀιθύεται ἄνδρες ἐν διθυράμβῳ· οὕτως στεῦται ἐνικὸν ἀντὶ πληθυντικοῦ.* nam Pindarici schematis exemplum ex Pindari dithyrambo afferri consentaneum est. V. 1. Plut. de fraterno am. c. 11 sine poetae nomine affert, ubi recte *κλῦθ' Ἀλαλὰ* et Herodian. *π. μον. λέξ.* 39, 5 *τὸ γὰρ ἀλαλὴ οὐ φύσει τρισύλλαβον. Κλῦθ' ἀλαλὰ Πολέμου θυγάτηρ.* Porro Athen. I 19 A *οἱ δ' ἐν τῇ Ἰλιακῇ πολιτείᾳ μονονοὺ βοῶσι κλῦθ'* (*κλῦσθ'* BCD) *ἀλαλὰ* (BCD *ἀλλὰ*, VL *ἀλάλα*) *π. θύγατερ ἐγχέων* (sic L, *εὐχέων* V) *προοίμιον*, eademque Eust. Il. 994, 59. — *ᾇ θύεται* correxit Haupt ex Schol. Aesch. *ἀιθύεται*. Pro Plutarcheo *ἀμφύετε* Reiske *ἀμφιέννυτε*, ego *ἀμφίεσθ'* vel *ὀμφύνετ'*, Schneidewin *ἄνα, δῦτ', ἄνδρες* coniecit. — V. 3. Haupt

57A. 57B. [47. 48.]

' ⏑ – – ± ⏑ ⏑ – ⏑ ⏑ – – ± ⏑ – –

± ⏑ – – ± ⏑ – – ± ⏑ ⏑ – ⏑ ⏑ –

Πρὶν μὲν εἶρπε σχοινοτένειά τ' ἀοιδὰ διθυράμβων
καὶ τὸ σὰν κίβδαλον ἀνθρώποισιν ἀπὸ στομάτων.

. . . . . – ± ⏑ – –

– ± ⏑ – ⏑ ⏑ – – ± ⏑ –

± ⏑ – – ± ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ± ⏑ – – ± ⏑ – –

. . . . . *σοὶ μὲν κατάρχειν,*
μᾶτερ μεγάλα, πάρα ῥόμβοι κυμβάλων·
ἐν δὲ κεχλάδειν κρόταλ', αἰθομένα δὲ δᾳὰς ὑπὸ ξανθαῖσι
πεύκαις.

probabiliter redintegravit ex Herodiano *π. σχημάτων* 60, 13: *Πινδαρικὸν δὲ τὰ τοῖς πληθυντικοῖς ὀνόμασιν ἑνικὰ ῥήματα ἔχοντα ἐπιφορὰν, οἷον ἄνδρες ἐπὶ πόλεως* (sic A, vulgo *ὑπὲρ πόλεων*) *καὶ ἰαχεῖ βαρυφθεγκτᾶν ἀγέλαι λεόντων.* unde *ὑπὲρ πόλιος* scripsi, Haupt *ὑπὲρ πολίων*. — *ἱρόθυτον* Haupt, *ἱερόθυτον* Plut. Ceterum de versuum descriptione ambigi potest. Sunt autem hi versus, ut videtur, ad idem carmen referendi, unde fr. 54 et fr. 55 petita.

Fr. 57A et B ex uno eodemque carmine petita esse docet Strabo X 469: *Μάρτυρες δ' οἱ ποιηταὶ τῶν τοιούτων ὑπονοιῶν· ὅ τε γὰρ Πίνδαρος ἐν τῷ διθυράμβῳ, οὗ ἡ ἀρχή· Πρὶν μὲν εἶρπε σχοινοτονίας* (*σχοῖνος τονίας* K, *σχοινογονίας* hi) *τ' ἀοιδὰ* (BKlnox *ἀοιδαὶ*) *διθυράμβῳ* (x *διθυράμβων*). *μνησθεὶς δὲ τῶν περὶ τὸν Διόνυσον ὕμνων τῶν τε παλαιῶν καὶ τῶν ὕστερον, μεταβὰς ἀπὸ τούτων φησί· Σοὶ μὲν . . . πεύκαις. τὴν κοινωνίαν τῶν περὶ τὸν Διόνυσον ἀποδειχθέντων νομίμων παρὰ τοῖς Ἕλλησι καὶ τῶν παρὰ τοῖς Φρυξὶ περὶ τὴν Μητέρα τῶν θεῶν συνοικειῶν ἀλλήλοις.* Fr. prius auctius affert Athen. XI 467 B: *καὶ Πίνδαρος δέ φησι· Πρὶν μὲν ἤρπε σχοινοτενείατα οἶδα καὶ τὸ σὰν κίβδηλον ἀπὸ στομάτων.* adde X 455 C: *Πίνδαρος δὲ πρὸς τὴν ἀσιγμοποιηθεῖσαν ᾠδὴν . . . ἐποίησε· Πρὶν μὲν εἶρπε* (PVL *εἶρπε*) *σχοινοτενία τὰ οἶδα καὶ τὸ σάν τι βόηλον* (ita AB, nisi quod B *σᾶν*, P *σαντιβόηλον*, VL *τὸ σὰν κίβδηλον*) *ἀνθρώποις* (V *ἀνθρώποι*, L Bas. *ἄνθρωποι*). Respiciunt Athen. X 488 D, Eust. Il. 1335, 52 et Dionys. de comp. verb. c. 14: *εἰσὶ δὲ οἱ ἀσίγμους ᾠδὰς ὅλας ἐποίουν, δηλοῖ δὲ τοῦτο Πίνδαρος ἐν οἷς φησι· Πρὶν μὲν ἤριπε* (l *ηρπε*) *σχοινοτενῆ φωνήεντα* (l *σχοινοτενεῖ ατα οἶδα* haud dubie ex Ath.) *διθ. καὶ τὸ σὰν κίβδαλον ἄνθρωποι* (MG *ἀνθρώποις*). Recte Boeckh *σχοινοτένειά τ' ἀοιδὰ* correxit.

Fr. 57B. V. 1. *κατάρχειν* Hermann, *κατάρχει* ap. Strab.; tamen offendit insolens apud antiquos scriptores usus formae activae, non tamen *καταχεῖν* scribendum, quemadmodum iam Reiske *καταχεῖ* coniecit, sed suspicor *κοιαρχεῖν* vel *κοαρχεῖν* legendum esse; *κώταρχος* sive *κωτάρχης* dicebatur Cabirorum sacerdos (v. Keil Spec. Onomat. 108), *κοιακτὴρ* sive *κοακτήρ* Taenariorum sacerdos (vide titulos Laconicos, in Annal. Inst. Arch. XXXIII. — V. 2. *μᾶτερ μεγάλα, πάρα* Boeckh, vulgo *μᾶτερ, πάρα μεγάλαι*, et sic B (ex corr.) CEhis, *μᾶτερ, πάρα μεγάλοι* reliqui. — *ῥόμβοι*, codd. *ῥοίμβοι*, fort. *ῥύμβοι*, quod postea etiam Meineke commendavit. — V. 3. *κεχλάδειν* Hermann, codd. *καχλάδων*, cf. Hesych. *κεχληδέναι, ψοφεῖν*. — *κρόταλ'* scripsi, vulgo *κρόταλα*. — *δᾳὰς* Boeckh, v. *δαΐς*, Bk *δαΐς*, Chlox *δᾷς*, D *δὰς*. — *ξανθαῖσι*, Bkl *ξανθῇσι*.

58. [49.]

. . . . . ⏑ ⏑ – ⏑ ⏑ ⏓
⏑ ⏑ – ⏑ ⏑ ⏑ – ⏑ ⏑ – –
⏑ ⏑ – – ⏑ ⏑ – ⏑ ⏑ ⏑ – ⏔
– ⏑ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏓
⏑ ⏑ ⏑ – ⏑ ⏓

. . . . . *Σὲ δ' ἐγὼ παρά μιν*
αἰνέω μέν, Γηρυόνα, τὸ δὲ μὴ Διί
φίλτερον σιγῶμι πάμπαν· οὐ γὰρ ἐοικός
ἁρπαζομένων τῶν ἐόντων καθῆσθαι παρ' ἑστίᾳ,
καὶ κακὸν ἔμμεναι.

59. [50.]

⏑ ⏑ ⏑ – ⏑ – ⏑ ⏑ – ⏑ – ⏓

Τὰν λιπαρὰν μὲν Αἴγυπτον ἀγχίκρημνον.

60. [51.]

⏑ ⏑ ⏔ ⏑ ⏑ – ⏑ ⏑ ⏔ ⏔ ⏑ ⏓

Ἦν ὅτε σύας τὸ Βοιώτιον ἔθνος ἔνεπον.

Fr. 58. Aristid. II 70: *Δοκεῖ δέ μοι καὶ Πίνδαρος, εἴ τι δεῖ περὶ τοῦ ἄσματος εἰπεῖν, οὐκ εἰσηγούμενος οὐδὲ συμβουλεύων σπουδῇ ταῦτα λέγειν τοῖς ἀνθρώποις, ἀλλ' ὡσπερεὶ σχετλιάζων. τεκμαίρομαι ἔργοισιν Ἡρακλέος αὐτοῖς τούτοις, ὅτι καὶ ἑτέρωθι μεμνημένος περὶ αὐτῶν ἐν διθυράμβῳ τινί· σὲ δ' ἐγὼ παρ' ἀμίν, φησίν, αἰ. μ. Γηρυόνη, τὸ δὲ μὴ Διΐ φιλ. σιγῶμι πάμπαν· οὐ γὰρ εἰκός, φησίν, ἁρπαζομένων τῶν ὄντων καθῆσθαι παρ' ἑστίᾳ καὶ κακὸν εἶναι.* — V. 1. *παρά μιν* Hermann, vulgo *παρ' ἀμίν*, LN *παράμιν*, et Schol. III 409: *σὲ δέ, ὦ Γηρυόνη, ἐπαινῶ παρ' αὐτὸν τὸν Ἡρακλέα. ὁ μὲν γὰρ τὰ οὐκ ὄντα ἀφείλετο ἐν βιαίᾳ χειρί, σὺ δὲ ὡς ἀδικούμενος μάχην πρὸς αὐτὸν ἤρας καὶ διὰ τοῦτο μᾶλλον ἀποδεκτός.* — V. 2. *Γηρυόνα* Boeckh, vulgo *Γηρυόνη*, L *γηρύονι*, N *γηρυόνι*.—*Διί*, vulgo *Διΐ*, Hermann *Δί*. — V. 3. *σιγῶμι* Boeckh, et sic lemma schol., vulgo *σιγῶμι*, N *σιγῶ μὲ*, M *σιγῶμι μή*. Fort. *σίγαμι*. — *ἐοικὸς* sicut deinde *ἐόντων* et *ἔμμεναι* Boeckh, vulgo *εἰκὸς . . . ὄντων . . . εἶναι*. Fortasse *καὶ κακὸν εἶναι* Aristides de suo adiecit; Hermanno omnia inde ab *οὐ γὰρ εἰκὸς* ab Aristide profecta videntur.

Fr. 59. Schol. Pind. Pyth. II Inscr.: *καὶ τὴν Αἴγυπτον ἐν Διθυράμβοις· τὰν κτλ. ἀγχίκρημνον* cod. Gott., vulgo *ἄγει κνήμων*.

Fr. 60. Schol. Pind. Ol. VI 152: *ὅτι διὰ τὴν ἀγροικίαν καὶ ἀναγωγίαν τοπαλαιὸν οἱ Βοιωτοὶ ὗες ἐκαλοῦντο, καθάπερ καὶ αὐτὸς ἐν τοῖς Διθυράμβοις· Ἦν . . . ὅτε σ. τὸ Β. ἔθνος ἔλεγον.* Strabo VII 321: *ἦν ὅτι σύας* (sic E, *σοιας* ABC, *ὗας* Ino et vulgo) *Βοι. ἔ. ἔνεπον* (E *ἔνεπον*) articulo omisso, qui etiam deest ap. Galen. Protrept. c. I.

61. [54.]

Harpocrat. 142: *παλιναίρετος . . . ἐπὶ δὲ τῶν καθαιρεθέντων οἰκοδομημάτων καὶ ἀνοικοδομηθέντων Πίνδαρος Διθυράμβοις.* Eadem Phot. 373, 11.

* 62. [55.]

Et. M. 274, 50: *Διθύραμβος . . . Πίνδαρος δὲ φησὶ λυθίραμβον· καὶ γὰρ Ζεὺς τικτομένου αὐτοῦ ἐπεβόα Λῦθι ῥάμμα, λῦθι ῥάμμα, ἵν' ᾖ λυθίραμμος, καὶ διθύραμβος κατὰ τροπὴν καὶ πλεονασμόν. Ἡρωδιανὸς δὲ φησὶ τὰ προστακτικὰ μὴ συντίθεσθαι.* Similia cod. Sorb. ap. Gaisf., Et. Gud. 147, 47. Etym. Angelican. a Ritschelio editum, denique Cyrillus (cod. Vindob. n. 319); *Ὁ Πίνδαρος λυθίραμμόν φησι αὐτόν· καὶ γὰρ ὁ Ζεὺς τικτόμενος αὐτοῦ ἔκραζεν· λῦθι λῦθι ῥάμμα.* cf. etiam Proclus ap. Phot. Bibl. 239: *ὁ δὲ Διθύραμβος γράφεται μὲν εἰς Διόνυσον, προσαγορεύεται δὲ ἐξ αὐτοῦ ἤτοι διὰ τὸ κατὰ τὴν Νύσσαν ἐπ' ἄντρῳ τραφῆναι τὸν Διόνυσον ἢ διὰ τὸ λυθέντων τῶν ῥαμμάτων τοῦ Διὸς εὑρεθῆναι αὐτόν, ἢ διότι δὶς δοκεῖ γενέσθαι, ἅπαξ μὲν ἐκ τῆς Σεμέλης, δεύτερον δὲ ἐκ τοῦ μηροῦ· εὑρεθῆναι δὲ τὸν διθύραμβον Πίνδαρος ἐν Κορίνθῳ λέγει*, quod pertinet ad Ol. XIII 18.

* 63. [56.]

Choeroboscus I 279: *εἶτα αὕτη ἡ αἰτιατικὴ φημὶ δὲ ἡ ἵκτινον κατὰ μεταπλασμὸν γέγονεν ἵκτινα, ὥσπερ . . . διθύραμβον διθύραμβα παρὰ Πινδάρῳ.*

V.

ΠΡΟΣΟΔΙΑ.

ΕΙΣ ΔΗΛΟΝ.

64. 65. [58.]

– ⏑ ⏑ – – ⏑ ⏑ – ⏑ ⏑ –
– ⏑ ⏑ – – ⏑ ⏑ – ⏑ ⏑ – –
– ⏑ ⏑ ⏑ – ⏑ ⏑ – – ⏑ ⏑ – – ⏑ ⏑ – ⏑ ⏑ –
– ⏑ ⏑ – – ⏑ ⏑ – ⏑ ⏑ – – ⏑ ⏑ – – ⏑ ⏑ – ⏑ ⏑ – ⏑
5 ⏑ ⏑ ⏑ – ⏑ ⏑ – – –
– ⏑ ⏑ – – ⏑ ⏑ –
⏑ ⏑ – – ⏑ ⏑ – – ⏑ ⏑ ⏑ ⏑ – –
⏑ ⏑ ⏑ – ⏑ ⏑ – – ⏑ ⏑ ⏑ – ⏑ ⏑ – –

Στρ.

Χαῖρ', ὦ θεοδμάτα, λιπαροπλοκάμου
παίδεσσι Λατοῦς ἱμεροέστατον ἔρνος,
πόντου θύγατερ, χθονὸς εὐρείας ἀκίνητον τέρας, ἅντε βροτοί
Δᾶλον κικλήσκοισιν, μάκαρες δ' ἐν Ὀλύμπῳ τηλέφαντον
κυανέας χθονὸς ἄστρον.

. . . . . .

. . . . . .

Fr. 64 et 65. recte Boeckh ad unum idemque carmen retulit, estque fortasse illud Ceis scriptum, quale ipse poeta carmen significat Isthm. I init. ubi schol.: *Οἱ Κεῖοι Δηλιακὸν παιᾶνα ἠξίουν τὸν ποιητὴν γράψαι* et alius *μέλλοντος γὰρ Κείοις γράφειν προσοδιακὸν παιᾶνα κτλ.*, unde Boeckh *Παιὰν Δηλιακὸς προσοδιακὸς* inscripsit. Respicit Sch. Callim. in Del. 28. — Fr. 64. Philo de corrupt. mundi p. 961 (ed. Francof. a. 1691): *τὴν δὲ Δῆλον καὶ Ἀνάφην ὠνόμασαν, δι' ἀμφοτέρων ὀνομάτων πιστούμενοι τὸ λεγόμενον, ἐπειδὴ ἀναφανεῖσα δήλη ἐγένετο, ἀδηλουμένη καὶ ἀφανὴς οὖσα τὸ πάλαι· Χαῖρ' ὦ κτλ.* — V. 1. *θεοδμάτα*, ed. Franc. *θεοτίμητε*. — V. 2. *παίδεσσι* Boeckh, vulgo *παιδὸς*, ed. Fr. *παιδὸς ᾗ*. — *ἔρνος*, Hartung *ἔρκος* scripsit. — V. 3. *θύγατερ*, quod Hermann coni., ed. Fr., vulgo *θυγάτηρ*. — V. 4. *τηλέφαντον* scripsi, vulgo *τηλέφατον*

Ἀντ.

ἦν γὰρ τοπάροιθε φορητὰ κυμάτεσσιν παντοδαπῶν τ' ἀνέμων
ῥιπαῖσιν· ἀλλ' ἃ Κοιογενὴς ὁπότ' ὠδίνεσσι θύοισ' ἀγχιτόκοις ἐπέβα νιν,
δὴ τότε τέσσαρες ὀρθαί
πρέμνων ἀπώρουσαν χθονίων,
ἂν δ' ἐπικράνοις σχέθον πέτραν ἀδαμαντοπέδιλοι
κίονες· ἔνθα τεκοῖσ' εὐδαίμον' ἐπόψατο γένναν.

ΑΙΓΙΝΗΤΑΙΣ ΕΙΣ ΑΦΑΙΑΝ.

66. [59.]

⏑ ⏓ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏓ ⏑ ⏑ – ⏑ ⏑ – ⏑
⏓ ⏑ – – ⏓ ⏑ – – ⏓ ⏑ – – ⏓ ⏑ – ⏑ ⏑ – –

Τί κάλλιον ἀρχομένοισιν ἢ καταπανομένοισιν,
ἢ βαθύζωνόν τε Λατὼ καὶ θοᾶν ἵππων ἐλάτειραν ἀεῖσαι;

Fr. 65. Strabo X 485: *Μυθεύεται γὰρ ἐνταῦθα ἡ Λητὼ τὰς ὠδῖνας ἀποθέσθαι τοῦ τε Ἀπόλλωνος καὶ τῆς Ἀρτέμιδος· ἦν γὰρ τοπάροιθεν οὐ φορητά, φησὶν ὁ Πίνδαρος κτλ.* (om. fragm. xy, initium usque ad *Κοιογενὴς* no). Apparet vel ex totius loci sententia strophan hanc et antistrophan continuo se excepisse, nisi quod strophae finis, antistrophae initium interiit. — V. 1. *πάροιθε φορητὰ κυμάτεσσι* Schol. Hom. Od. *κ'* 3. (Cram. An. Par. III 464, 7. Eust. 1644, 54): *οἷον δή τι καὶ περὶ τὴν Δῆλον ἱστορεῖ Πίνδαρος λέγων οὕτως: ἦν γ. τ. πάροιθε φορητὰ κυμάτεσσι Δῆλος* (*Δᾶλος* An. Eust.) *παντ. ἀν. ῥιπαῖς.* ubi *Δῆλος* ex interpretatione additum. Strabo *πάροιθεν οὐ φορητὰ κύμασί τε.* sed *κυματεσσι* D a pr. m. (a sec. *κυμάτεσι* ut Cl) — *τ' ἀνέμων* Tzschucke, vulgo copula deest. — V. 2. *ἀλλ' ἃ Κοιογενὴς* correxit Porson, *ἀλλὰ Κοίου γένος* Schneider, vulgo *ἀλλὰ καὶ ὁ γένος*, D *ἀλλὰ καιογενὴς*, Cs *ἀλλὰ καὶ ὁ γένης*, Bk *ἀλλ' ἀκαιογένης*, hi *ἀλλὰ καινογενής.* — *ὠδίνεσσι* Boeckh, *ὠδίνεσι* BDhios, *ὠδίναισι* k, *ὀδύναισι* vulgo. — *θύοισ'* scripsi, *θύοις* CDhl, *θείαις* Bkinos, *θοαῖς* Boeckh. — *ἐπέβα νιν* Porson, *ἐπέβαινεν* Schneider, vulgo *ἐπιβαίνειν.* — V. 4. *πρέμνων* Hermann, *πρεμνῶν* Bk, *πρυμνῶν* CDhilos. — V. 5. *δ' ἐπικράνοις* Porson, *δ' ἐπὶ κρανοῖς* Bls, *δ' ἐκράνοις* h, *δὲ κράνοις* i, *δ' ἐπὶ κραναῇ* kno. — *σχέθον, σχεδὸν* Bk. — *πέτραν, πέτρᾳ* Bklno. — V. 6. *τεκοῖσ', τέκοις* Cl, *τόκοις* h, *τέκειν* no. — *ἐπόψατο* om. no. — *ἀδαμαντοπέδιλοι* respicit Plutarch. de fac. in orbe lunae c. 6: *τὴν δὲ γῆν κατὰ Πίνδαρον ἀδαμαντοπέδιλοι κίονες περιέχουσιν.* Cf. praeterea Seneca Qu. Nat. VI 26: „Hanc (Delum) philosophi quoque credula natio dixerunt non moveri auctore Pindaro.“

Fr. 66. Schol. Aristoph. Eqq. 1263: *τοῦτο ἀρχὴ προσοδίου Πινδάρου· ἔχει δὲ οὕτω· Τί κάλλιον κτλ.* Suid. s. v. *προσόδια· ὕμνοι· Ἀρχὴ προσοδίου· τί κάλλιον ἄρ. ἢ κ. ἢ θοᾶν ἵππων ἐλατῆρας ἀείδειν,* quod per errorem ductum ex Aristophanis versu, quem dixi. — V. 1. fortasse *καταπανομένοις* praestat, atque Θ et hoc et *ἀρχομένοις* exhibet. Hartung cur divisim *κατὰ πανομένοισι* scripserit, ignoro. — V. 2. Ven. *ἐλάτηραν.* — Recte autem Boeckh huc respexisse censuit Pausaniam II 30, 3: *Ἐν Αἰγίνῃ δὲ πρὸς τὸ ὄρος τοῦ Πανελληνίου Διὸς ἰδοῦσίν ἐστιν Ἀφαίας ἱερόν, ἐς ἣν καὶ Πίνδαρος ᾆσμα Αἰγινήταις ἐποίησεν.*

ΕΙΣ ΔΕΛΦΟΥΣ.

* 67. [60.]

. . . ⏑ ⏑ – ⏑ – ⏑ – ⏑
⏓ ⏑ ⏑́ ⏑ ⏑ – ⏑ – –
⏓ ⏑ ⏑́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – ⏑ – ⏒
⏑́ ⏑ ⏑ – ⏑ – ⏑́ ⏑ –
⏓ ⏑́ ⏑ – ⏑́ ⏑ ⏑ – ⏑ – –

. . . *Πρὸς Ὀλυμπίου Διός σε,*
χρυσέα κλυτόμαντι Πυθοῖ,
λίσσομαι Χαρίτεσσί τε καὶ σὺν Ἀφροδίτᾳ
ἐν ζαθέῳ με δέξαι χορῷ
ἀοίδιμον Πιερίδων προφάταν.

---

68. [61.]

Porphyr. de Abst. III 251: *Πίνδαρος δὲ ἐν προσῳδίοις* (*προσοδίοις*) *πάντας τοὺς θεοὺς ἐποίησεν, ὁπότε ὑπὸ Τυφῶνος ἐδιώκοντο, οὐκ ἀνθρώποις ὁμοιωθέντας, ἀλλὰ τοῖς ἄλλοις* (Wesseling et Unger emendaverunt *τοῖς ἀλόγοις*) *ζῴοις*. Ad hoc prosodium haud dubie versus, qui subsequuntur, referendi sunt, fuit autem ut videtur *εἰς Δία Αἰτναῖον* conditum.

* 69. 70. [93.]

– ⏑́ ⏑ – – ⏑́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
⏑́ ⏑ – – . . . . .

* * *

– ⏑́ ⏑ – – ⏑́ ⏑ ⏑ – ⏑ ⏑ –
– ⏑́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – – ⏑́ ⏑ ⏓
⏑́⏑ ⏑ – ⏑ . . . . .

Fr. 67. Aristid. II 510: *ἑτέρωθι δὲ ἔτι λαμπρότερον* (*Πίνδαρός φησι*)· *Πρὸς Ὀλ. κτλ. ὁρᾷς, ὡς εὐχόμενος μεταξὺ οὐ κατέσχεν ἑαυτόν, ἀλλὰ κἀνταῦθα ἐσεμνολογήσατο.* — V. 3. *λίσσομαι* Stephanus, *Γ ᾄσομαι, Θ ἄσομαι.* — *Χαρίτεσσι* Hermann, vulgo *Χάριτες.* — V. 4. *χορῷ* scripsi, *ΓΘ χρόνῳ*, vulgo *χώρῳ*, Kayser et Schneidewin coni. *θρόνῳ* coll. Pausan. X 24, 4. — V. 5. *Πιερίδων* Canter, vulgo *Πιερίων*. Ad prosodium Delphicum probabiliter retulit Boeckh, adversante Hartungo, qui hos revsus ex Paeane aliquo petitos esse censet.

Fr. 69. 70. Strabo XIII 626: *Πίνδαρος δὲ συνοικειοῖ τοῖς ἐν τῇ Κιλικίᾳ τὰ ἐν Πιθηκούσσαις, ἅπερ ἐστὶ πρὸ τῆς Κυμαίας, καὶ τὰ ἐν Σικελίᾳ, καὶ γὰρ τῇ Αἴτνῃ φησὶν ὑποκεῖσθαι τὸν Τυφῶνα, τόν ποτε Κιλίκιον κτλ.* (Pyth. I 16) ... *καὶ πάλιν· κείνῳ κτλ. καὶ πάλιν· ἀλλ' οἷος κτλ.* ex eodem carmine utrumque fr. petitum, nam sic demum id

Κείνῳ μὲν Αἴτνα δεσμὸς ὑπερφίαλος
ἀμφίκειται.

* * *

ἀλλ' οἷος ἄπλατον κεράϊζε θεῶν
Τυφῶν' ἑκατοντακάρανον ἀνάγκᾳ Ζεὺς πατήρ
ἐν Ἀρίμοις ποτέ.

71.

Μεμναίατ' ἀοιδᾶς.

---

quod Strabo vult probant. Respicere videtur huc Iulian. Epist. XXIV 395: *Καὶ μὴν καὶ Πίνδαρος ὁ Θηβαῖος τὴν ἀναίρεσιν τοῦ Τυφωέος ἐν ἐπινικίοις κηρύττων καὶ τοῦ μεγίστου τούτου γίγαντος κράτος τῷ μεγίστῳ βασιλεῖ τῶν θεῶν περιτιθείς, οὐχ ἑτέρωθεν αὐτῷ τῆς εὐφημίας κρατύνει τὴν ὑπερβολήν, ἢ ὅτι τὸν γίγαντα τὸν ἑκατοντακέφαλον ἑνὶ βλήματι καθελεῖν ἤρκεσεν. ὡς οὐδέ τινος ἄλλου εἰς χεῖρας τοῦ Διὸς ἐλθεῖν ἀντιμάχου γίγαντος νομισθέντος, ἢ ὃν ἂν ἡ μήτηρ μόνον τῶν ἄλλων ἑκατὸν κεφαλαῖς ὥπλισεν, οὐδὲ ἑτέρου τινὸς θεῶν ἢ μόνου Διὸς ἀξιονικοτέρου πρὸς ταύτην τοσούτου γίγαντος καθαίρεσιν ὄντος.* — Fr. 70. V. 1. *ἀλλ' οἷος*, Dh *ἀλλοῖος*. — V. 2. Strabonis libri *Τυφῶνα πεντηκοντακέφαλον*, hinc in proecdosi *πεντηκοντακέφαλλον* scripsi, vid. Phot. 188, 11: *κυνοκέφαλον· ἐν τοῖς δύο λλ λέγουσιν, οὕτως Ἀριστοφάνης* (Eqq. 417) cf. etiam Hesiod. Theog. 287 et ap. Strab. I 43: *Ἡμίκυνες καὶ Πυγμαῖοι καὶ Μακροκέφαλλοι.* .Nunc secutus sum Hermannum, qui emendavit *Τυφῶν' ἑκατοντακάρανον*, quod commendat Iuliani ille locus et Pyth. I 16, adde Schol. Hes. Theog. 311: *ὁ μὲν Πίνδαρος ἑκατοντακέφαλόν φησιν εἶναι τὸν Τυφωέα, οὗτος δὲ πεντηκοντακέφαλον.* — Ζεὺς, rw Ζεῦ. — *πατὴρ*, Frw *πάτερ*, unde Tzschucke scripsit *κεράϊζες . . . Ζεῦ πάτερ*, quod sane convenientissimum est, si haec ex carmine in Iovis honorem petita sunt. — V. 3. resp. Schol. Lycophr. 825. — *ἐν*, Boeckh *εἰν*. Idem retulit haec ad *scolium* in Hieronem, ego propter fr. 68 huc revocavi.

Fr. 71. Cram. An. Par. III 292, 26: *Πίνδαρος δὲ δωρικώτερον διὰ τῆς αι διφθόγγου ἐν Προσῳδίοις· μεμναίατ' ἀοιδῆς.* scr. *ἀοιδᾶς*. Respicit Et. M. 579, 3.

VI.

ΠΑΡΘΕΝΙΑ.

ΠΑΝΙ 72—77.

72. [63.]

⏑ – ⏑ ⏑ ⏑ – ⏑ – ⏑ – ⏑ ⏑ – ⏑ –

. . . . . .

– ⏑ ⏑ ⏑ – ⏑ – ⏑ – ⏑ ⏑ ⏑ – ⏑ – ⏑ – ⏑

Ὦ Πάν, Ἀρκαδίας μεδέων, καὶ σεμνῶν ἀδύτων φύλαξ,

. . . . . .

Ματρὸς μεγάλας ὀπαδέ, σεμνᾶν Χαρίτων μέλημα τερπνόν.

* 73. [66.]

⏑ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ ⏑ ⏑ – ⏑ ⏑ –

⏑ ⏑ ⏑ ⏑ ⏑ – ⏑ –

Ὦ μάκαρ, ὅντε μεγάλας θεοῦ κύνα παντοδαπόν
καλέοισιν Ὀλύμπιοι.

Fr. 72. Eustath. prooem. 27: *Λέγεται δὲ καὶ ὅτι ὁ Πὰν μεταξὺ Κιθαιρῶνος καὶ Ἑλικῶνος ὤφθη ᾄδων παιᾶνα Πινδάρου· διὸ καὶ αὐτὸς ᾄσμα ἐποίησεν, ἐν ᾧ χάριν αὐτῷ τῆς τιμῆς ἀνθομολογεῖται, οὗ ἀρχή· Ὦ Πάν, Πάν, Ἀρκ. . . . . φύλαξ.* Similia vit. Pind. Boeckh T. II p. 9 (Westerm. p. 97). Auctius profert Scholiast. Pindar. Pyth. III 139: *πάρεδρος γὰρ ὁ Πὰν τῇ Ῥέᾳ, ὡς αὐτὸς ὁ Πίνδαρος ἐν τοῖς κεχωρισμένοις τῶν Παρθενίων φησίν· Ὦ Πάν, Ἀρκαδίας μεδέων ἕως τοῦ Ματρὸς μ. ὀπ. σεμνῶν Χ. μ. τ.* ubi cod. Gott. *ἄγαλμα* pro *μέλημα*, recte Boeckh *σεμνᾶν*, idem vero coni. *σεπτῶν ἀδύτων*, contra Schneidewin v. 2 *ὀπαδός, ἁγνᾶν*, ne bis idem vocabulum iteretur, at plures videntur versus interiecti esse, fort. v. 1 initium, v. 2 clausula strophae fuit, itaque lacunam indicavi. Carmen eiusque opportunitas celeberrima fuit, cf. Plutarch. vit. Num. c. 4, Non posse suaviter viv. sec. Epic. c. 22, Pausan. IX 25, 3, Philostr. Imag. II 12, Aristid. I 69. II 231, et Schol. III 564, Liban. Or. LXIII T. III 352 ed. Reiske, Antipater Anth. Plan. IV 305, Thomas M. Vit. Pind. T. II p. 4 et ib. p. 7, Eustath. prooem. p. 23 ed. Schneidewin.

Fr. 73. Aristot. Rhet. II 24: *ἢ εἴ τις κύνα ἐγκωμιάζων τὸν ἐν τῷ οὐρανῷ συμπαραλαμβάνει, ἢ τὸν Πᾶνα, ὅτι Πίνδαρος ἔφησεν· ὦ μάκαρ κτλ.* Boeckh, qui recte huc retulit, *καλέοισιν* scripsit, v. *καλέουσιν*.

* 74. [65.]

Schol. Theocr. V 14: *τὸν Πᾶνα τὸν ἄκτιον· τινὲς δὲ τὸν Ἀπόλλωνά φασι τὸν ἐπὶ τῆς ἀκτῆς ἱδρύμενον, φησὶ δὲ καὶ Πίνδαρος τῶν ἁλιέων αὐτὸν φροντίζειν.* ubi Dübner coni. *τινὲς δὲ τὸν Πᾶνα ὡς καὶ τὸν Ἀπόλλωνά φασιν ἐπὶ κτέ.* Ahrens *τινὲς δὲ τὸν ὑπὸ ἁλιέων φασὶν ἐπί.*

* 75. [64.]

Schol. Theocr. I 2: *Μέλη γὰρ τὰς ᾠδὰς ἔλεγον, ὡς καὶ Πίνδαρος τὸν Πᾶνα φάσκων·*

τὸ σαυτοῦ μέλος γλάξεις,

τουτέστιν ἑαυτῷ ᾠδὴν ᾄδεις. ubi 5 Bar. *τοσαύτα*, Gen. b *τὰς αὐτοῦ.* Ahrens *φάσκων τό· σαυτῷ μ. γ.* Ego conieci *τὺ σαυτῷ* (*σοὶ αὐτῷ*).

* 76. [67.]

Aristid. I 49: *Διδόασι δ' αὐτῷ καὶ τὸν Πᾶνα χορευτὴν τελεώτατον θεῶν ὄντα, ὡς Πίνδαρός τε ὑμνεῖ καὶ οἱ κατ' Αἴγυπτον ἱερεῖς κατέμαθον.*

* 77. [68.]

Serv. Virg. Georg. I 16; „Pindarus Pana ex Penelope filium dicit." Sed auctius G: „Pana Pindarus ex Apolline et Penelopa in Lyco (Lycaeo) monte editum scribit, qui a Lycaone rege Arcadiae locus (Lycaeus) mons dictus est: alii ex Mercurio et Penelope natum, comitem feras solitum e cubilibus excitare, et ideo capripedem figuratum esse etc." Longe aliud tradit Schol. in Theocriti Syringem: *Τὸν δὲ Πᾶνα ἔνιοι γηγενῆ ἱστοροῦσιν, ἔνιοι δὲ Αἰθέρος καὶ νύμφης Οἰνόης, ὡς καὶ Πίνδαρος, ἔνιοι δὲ Ὀδυσσέως.*

ΑΠΟΛΛΩΝΙ.

* 78. 79. [70.]

. . . . . ⏑ ⏑ – – ⏓ ⏑ – –

– ⏓ ⏑ – – ⏓ ⏑ ⏑ – ⏓ ⏑ ⏑ – ⏑ ⏑ – – –

⏓ ⏑ – – ⏓ ⏑ ⏑ – ⏑ ⏑ – – ⏓ ⏑ – –

⏓ ⏑ ⏑ – ⏑ ⏑ – – ⏓ ⏑ – – ⏓ ⏑ ⏑ – ⏑ ⏑ . . .

Fr. 78 et 79. Strabo IX 412: *οἱ δὲ ποιηταὶ κοσμοῦσιν ἄλση καλοῦντες τὰ ἱερὰ πάντα κἂν ᾖ ψιλά· τοιοῦτόν ἐστι καὶ τὸ τοῦ Πινδάρου περὶ Ἀπόλλωνος λεγόμενον· κινηθεὶς ἐπ. ... ἄλσεων.* Resp. Eust. Il. 270, 23. Eximie autem vidit Boeckh huc pertinere, quae ap. Strab. 413 leguntur, ubi cum *Alcaeum* commemorasset, pergit: *τὸ δὲ Τηνερικὸν πεδίον ἀπὸ Τηνέρου προσηγόρευται· μυθεύεται δ' Ἀπόλλωνος υἱὸς ἐκ Μελίας, προφήτης τοῦ μαντείου κατὰ τὸ Πτῶον ὄρος, ὃ φησιν εἶναι τρικόρυφον ὁ αὐτὸς ποιητής* (quae antea de Alcaeo dicta sunt, aut ipse Strabo postea aut alius quis in margine adiecit: certe Alcaei non sunt hi versus): *Καί ποτε ... κατέσχε. καὶ τὸν Τήνερον καλεῖ· ναοπόλον μ. δ. ὁμ.*

. . . . . *Περιδιναθεὶς ἐπήει*
γᾶν καὶ θάλασσαν καὶ σκοπιαῖσιν μεγάλαις ὀρέων ὕπερ ἕστα,
καὶ μυχοὺς δινάσσατο βαλλόμενος κρηπῖδας ἀλσέων,
καί ποτε τὸν τρικαράνου Πτωΐου κευθμῶνα κατέσχεθε . .
. . . _ ◡ ◡ _ _ ⏑ ◡ ◡ _ ◡ ◡ _ _
. . . *ναοπόλον μάντιν δαπέδοισιν ὁμοκλέα.*

---

80. [62.]

Schol. Arist. Acharn. 720: *Ἀγοράζειν ἐν ἀγορᾷ διατρίβειν ἐν ἐξουσίᾳ καὶ παρρησίᾳ ἐστίν, Ἀττικῶς, ὅθεν καὶ ἡ Κόρινna, ἐστὶ τοῦ Πινδάρου ἀττικιστί, ἐπεὶ καὶ ἐν τῷ πρώτῳ τῶν Παρθενίων ἐχρήσατο τῇ λέξει.* coni. Pierson *ἔτι δὲ Πίνδαρος ἀττικίζει.* Geel (vid. Schneidewin Proleg. LXXXI.) *ὅθεν καὶ ἡ Κόρινna ἐπιτιμᾷ Πινδάρῳ ἀττικίζοντι.* Boeoti enim non *ἀγορά*, sed *ἀγών* dicebant, vid. Schol. Il. ω 1. Eust. Il. 1335, 58: *ἀγορεύειν* tamen Boeotis proprium esse dicitur, vid. Bekk. An. III 1095 not. Iriarte p. 146. cf. etiam Leutsch Philol. XI 181.

81. [69.]

Schol. Theocr. II 10: *Πίνδαρός φησιν ἐν τοῖς κεχωρισμένοις τῶν Παρθενίων* (ita 5 Gen. b, *παρθένων* ceteri), *ὅτι* (*ἤτοι* Gen. b52, *τοι* 51) *τῶν ἐραστῶν οἱ μὲν ἄνδρες εὔχονται παρεῖναι* (ita scripsi, *εἶναι καὶ* 5 Gen. b, *τὸν* vulgo) *Ἥλιον, αἱ δὲ γυναῖκες Σελήνην.* — Ad tertium hunc librum Partheniorum fortasse veteres critici retulerunt *προοίμιον εἰς Σακάδαν*, vid. fr. inc. 251.

Fr. 78. V. 1. *περιδιναθεὶς* scripsi, vulgo *κινηθείς*, A . . *νηθεὶς*, sed in m. *περικιηθεὶς*, c *περικινηθεὶς*. cf. Hesych. *περιδινεῖσθαι· περικινεῖσθαι, περιπορεύεσθαι, περιστρέφεσθαι, περιέρχεσθαι*, et similiter *περιδινηθήτην, περιδινήσεως, περιδινηταί* interpretatur. — V. 2. *γᾶν* Boeckh, codd. *γᾶν τε*. Fort. *γᾶν τε καὶ θάλασσαν* (*ἀμαιμακέταν*). — *σκοπιαῖσιν* Boeckh, codd. *σκοπιαῖσι*. — *μεγάλαις*, *A* . . . . . *ς*, sed in m. suppletum. — V. 3. *δινάσσατο* haud dubie corruptum, Acghi *δεινάσατο*, Hermann *ἐδύσατο*, Schneider *τινάξατο*, Emperius *δ' ἐνάσσατο*, Schneidewin *διφάσατο*, Dindorf *δίνασ' ἅπο*, Ahrens contra *κἄμ μυχοὺς δινάσατο*. Fort. *τευμάσατο*. — *βαλλόμενος*, A *βαλλό* . . . . . et similiter cghi. — V. 4. *τρικαράνου* scripsi, vulgo *τρικάρανον*. — *Πτωΐου* scripsi (cf. Keil Syll. Inscr. Boeot p. 70, Philemon Gr. p. 38), quod postea etiam Meineke proposuit, vulgo *Πτώον*. — *κατέσχεθε* libri, vulgo *κατέσχε*. Ceterum videntur non multa intercidisse, fort. scripsit: *κατέσχεθε, καὶ τὸν Τήνερον Θήκατο ναοπόλον μάντιν δαπέδοισιν ὁμοκλέα*. Ceterum Boeckh haec ad *Parthenia* probabiliter retulit. Meineke haec sic constituit . . . *Δινηθεὶς ἐπήει | γᾶν τε καὶ (πᾶσαν) θάλασσαν καὶ σκοπιαῖσιν (ἄκραις Πτώων) ὀρέων ὕπερ ἕστα | καὶ μυχοὺς διζήσατο βαλλόμενος κρηπῖδας ἀλσέων.*

VII.

ΥΠΟΡΧΗΜΑΤΑ.

ΙΕΡΩΝΙ ΣΥΡΑΚΟΣΙΩι 82. 83.

82. [71. 72.]

⏑ ⏑́⏑́ –́ ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ –
⏑ –́ ⏑́⏑́ ⏑ – –́ ⏑ – –
⏑ ⏑ –́ ⏑ ⏑ – ⏑ – ⏑ – –́ ⏑ –
⏑ ⏑ –́ ⏑ ⏑ – ⏑ – ⏑ – ⏑ – –
–́ ⏑ – ⏑ – –́ ⏑ . . . .

Σύνες ὅ τοι λέγω, ζαθέων ἱερῶν
ὁμώνυμε πάτερ, κτίστορ Αἴτνας·
Νομάδεσσι γὰρ ἐν Σκύθαις ἀλᾶται Στράτων,
ὃς ἁμαξοφόρητον οἶκον οὐ πέπαται·
ἀκλεὴς ἔβα τῶνδε . . . . .

Fr. 82. V. 1. 2 affert Schol. Pind. Nem. VII 1: *τότε γὰρ καταφέρεται εἰς τοῦτο ὁ Πίνδαρος, ὅταν ὑπῇ τις ὁμωνυμία, οἷον . . . καὶ Σύνες ὅτι λ. . . . Αἴτνας.* et Pyth. II 127: *τὸν ἐπίνικον ἐπὶ μισθῷ συντάξας ὁ Πίνδαρος ἐκ περιττοῦ συνέγραψεν αὐτῷ (Ἱέρωνι) προῖκα ὑπόρχημα, οὗ ἡ ἀρχή· Σύνες ὅτι* (cod. Gott. *ὅ τοι*) . . . *ἐπώνυμε. ὃ δὴ Καστόρειον εἶπε διὰ τὸ τὴν ἔνοπλον ὄρχησιν κατ' ἐνίους τοὺς Διοσκούρους εὑρεῖν.* quasi Pindarus in illo Pythico carmine hoc ipsum Hyporchema respexerit: contra alius schol.: *ὅπερ τότε μὲν ἀπεστάλη τῷ Ἱέρωνι μετὰ τοῦ παρόντος εἴδους, νῦν δὲ οὐχ εὑρίσκεται.* — *Ὅ τοι* firmat Aristoph. Avv. v. 945, ubi *ξύνες ὅ τοι λέγω* editum (nisi *τὶν* malis). Sch. ad illum locum: *ἐκ τῶν Πινδάρου ὑπορχημάτων· ξύνες ὅ τι λέγω ζ. ἱ. ὁμώνυμε π. κτ. Αἴτνας· ἐπειδὴ ὁ Ἱέρων ἔκτισεν αὐτήν.* Et firmat *ὁμώνυμε* Strabo VI 268: *ταύτης δὲ καὶ Πίνδαρος κτίστορα λέγει αὐτόν, ὅταν φῇ· ξύνες τοι* (ABCl *ξενεστοι* vel *ξένεστοι*) *λ. ζ. Ἱέρων* (Kramer *ἱερῶν*) *ὁμ. π. κτ. Αἴτνης.* Initium hoc satis celebratum respiciunt Plato Menone 76 D (ubi vulgo *σύνες ὅ τι*, sed *ξύνες* 𝔄 corr. *Δ*, *ὅ τοι* libri omnes), Phaedro 236 D (ubi *ξύνες ὅ σοι* est). Gregor. Naz. Epist. 104 T. II 103. Boeckh statuit (sec. suas temp. rat.), carmen non ante Ol. 76, 1, haud dubie Ol. 76, 3 ad Pythiam Hieronis victoriam celebrandam scriptum esse. (cf. Berlin. Jahrb. f. Wissensch. Kritik 1835 n. 14 seqq.) — Iam qui sequuntur versus 3—5 ad idem hoc carmen retulit Boeckh, at sunt non solum ex hoc carmine petiti, sed ex eadem stropha, ac nihil plane post

83. [73.]

⏑ ⏑ –́ ⏑ ⏑ – ⏑ – ⏑ – ⏓
⏑ ⏑ –́ ⏑ ⏑⏑ ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏓
⏓ ⏑ –́ ⏑ ⏑ – –́ ⏑ –
–́ ⏑ – ⏑ – ⏑ ⏓
⏓
⏑⏑ ⏑ –́ ⏑ ⏑ – ⏑ – ⏓ ⏑ –́ ⏑ ⏑ – –́ ⏑ ⏑ – –
⏑ ⏑⏑ –́ ⏑ – ⏑ –́ ⏑ ⏑ – ⏑ – –

Ἀπὸ Ταϋγέτοιο μὲν Λάκαιναν
ἐπὶ θηρσὶ κύνα τρέφειν πυκινώτατον ἕρπετον·
Σκύριαι δ' ἐς ἄμελξιν γλάγους
αἶγες ἐξοχώταται·

κτίστορ Αἴτνας excidit: statim enim poeta explanat illud *ξύνες ὅ τοι λέγω*; quod vel apparet ex Aristophanis Parodia in Avv. v. 938, nisi quod is inverso ordine usus est: *τὺ δὲ τεᾷ φρενὶ μάθε Πινδάρειον ἔπος. . . . Νομάδεσσι γὰρ ἐν Σκύθαις Ἀλᾶται Στράτων Ὃς ὑφαντοδόνητον ἔσθος οὐ πέπαται, Ἀκλεὴς δ' ἔβα σπολὰς ἄνευ χιτῶνος. Ξύνες ὅ τοι λέγω.* ubi Sch. servavit fr. 82 *καὶ ταῦτα παρὰ τὰ ἐκ Πινδάρου· ἔχει δὲ οὕτως· Ν. γὰρ ἐν Σκ. ἀλᾶται Στράτων, ὃς* (Ven. *ὡς*) *ἁμαξηφόρητον* (recte Herm. *ἁμαξοφόρητον*) *οἶκον οὐ πέπαται. ἀκλεὴς ἔβα τῶνδε* (Ven. *ἀκλεῆ τε βάτην δέ*). *Λαβὼν ἡμιόνους παρ' Ἱέρωνος καὶ ᾔτει αὐτὸν καὶ ἁρμάδιον* (Ven. *ἁμάδιον*, Bergler *ἁρμάτιον*, Dindorf *ἅρμα*). Ceterum Hermann (Op. VII 125) *Στράτων* per errorem ex Aristophane repetitum esse censet, cum Pindarus *μόνος* scripserit, similiter ego in proecdosi *Στράτων* plane delevi, tum scripsi negatione *οὐ* deleta: *οἶκον πέπατ', ἀκλεὴς δ' ἔβα | Τῶνδε*, ut v. 3. 4. 5 prorsus respondeant fr. 83 v. 1. 2. 3; curru enim, non rheda caruisse Hieronis aurigam. Sed incerta haec omnia, illud certum extrema corrupta esse (quae Dindorf prorsus delenda censet), ubi Boeckh *ἀκλεὴς δ' ἔβα* scripsit, *τῶνδε* deleto. Ego coniicio: *Νομάδεσσι γὰρ ἐν Σκύθαις ἀλᾶται Στράτων, ὃς ἁμ. οἶκον οὐ πέπαται, ἀκλεής*, quae sequuntur scholiastae sunt, sic emendanda: *Στράτων δὲ λαβὼν ἡμιόνους παρ' Ἱέρωνος*, ut hoc ipsum fuerit aurigae nomen (nisi malis *Βάτων*, cui Aristophanes *Στράτων* potuit substituere). *Ἀκλεής* autem ad priora referendum esse docet Sch. v. 942: *ἀλᾶται ἔφη, ἐπειδὴ οἱ Σκύθαι τῷ χειμῶνι διὰ τὸ ἀφόρητον αὐτοῦ ἐπὶ ἁμαξῶν τὰ πράγματα βάλλοντες ἑαυτῶν ἀπαίρουσιν εἰς ἄλλην χώραν· ὁ μὴ ἔχων δὲ ἐκεῖσε ἅμαξαν ἄτιμος παρ' αὐτοῖς κρίνεται.* Hartung scripsit *ἀλᾶται ὃς ἁμαξοφόρητον μὲν οἶκον οὐ πέπατ', ἀκλεὴς δ' ἀπέβα τῶνδε.*

Fr. 126. Plut. de *EI* apud Delph. c. 21: *πρὸς ὃν δὲ (Ἀπόλλωνα) Πίνδαρος εἴρηκεν οὐκ ἀηδῶς· κατεκρίθη δὲ* (hoc om. Dübner) *θνατοῖς ἀγαν. ἔ.* ubi vulgo *κατεκρίθη δέον αὐτοῖς ἀγονώτατος ἔ.* idem affert de def. orac. c. 7, et adv. Epicur. c. 22: *ὁ δ' Ἀπόλλων κατεκρίθη θνατοῖς ἀγανώτατος ἔμμεν, ὡς ὁ Πίνδαρος φησίν.* Ex primo loco coniicias *κατεκρίθης*.

Fr. 127. Eust. Il. 9, 44: *Καὶ Πίνδαρος ὁ κατὰ τὸ ἐπ' αὐτῷ πρόγραμμα μουσοποιὸς λέγει· Μαντεύεο Μοῦσα κτλ.* Sch. Il. *α* 1: *καὶ Πίνδαρος· Μαντεύεο Μοῦσα.* cf. Matranga Anecd. 374. *Μοῖσα* scripsit Boeckh.

Fr. 128. Eust. Il. 9, 40: *ταύτῃ τῇ θεᾷ τῇ Μούσῃ ... ἐγκελεύεται ὁ ποιητὴς τὴν Ἀχιλλέως μῆνιν ἀείδειν . . . οὗ ἀνάπαλιν Πίνδαρος ποιεῖ ἐν τῷ Μοῦσα ἀνέηκέ με, ἤγουν ἀνέπεισεν.* Repetit 179, 14: *ἀνέηκέ με ἡ Μοῦσα. Μοῖσ'* Boeckh scripsit.

Fr. 129. Cram. An. Ox. I 285, 19: *Μέλεα . . . οἱ δὲ ἀπὸ τῆς μελιγήρυος. Πίνδαρος· μελισσοτεύκτων κτλ.* Et. M. 577, 19, vulgo sine poetae nom. *μ. κ. ἐ. γλυκερωτέρα ὄμφακος.* sed Hav. *γλυκύτερος ὄμφα*, Sorb. *γλυκερότερος ὄμφα.* Et. Gud. 386, 18: *οἱ δὲ ἀπὸ τοῦ μελιγόρου Πινδάρου. μελισσοτευκηρίων.*

130. [125.]

⏓ ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ ⏑ – – –́ ⏑ ⏓
⏓ – –́ ⏑ ⏑ – –

Δενδρέων δὲ νομὸν Διόνυσος πολυγαθὴς αὐξάνοι,
ἁγνὸν φέγγος ὀπώρας.

131. [126.]

⏑ –́ –́ ⏑ ⏑ – –́ ⏑ – .
⏑ –́ ⏑ ⏑ – – –́ ⏑ –́ –́ ⏒
⏑ –́ ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –
–́ ⏑ – – ⏑́⏑ ⏑ – –́ ⏑ ⏑ –

Ἐλαφρὰν κυπάρισσον φιλέειν,
ἐᾶν δὲ νομὸν Κρήτας περιδαῖον.
ἐμοὶ δ' ὀλίγον μὲν γᾶς δέδοται, ὅθεν ἄδρυς·
πενθέων δ' οὐκ ἔλαχον οὐδὲ στασίων.

132. [127.]

⏑ –́ –́ ⏑ –
⏓ ⏑ –́ ⏑ ⏑ – –́ ⏑ ⏑ – ⏑ – ⏑ – ⏒
– –́ ⏑ –́ ⏑ ⏑ – –́ –
⏓ – –́ ⏑ ⏑ . . . .
–

Τί δ' ἔρδων φίλος
σοί τε, καρτερόβροντα Κρονίδα, φίλος δὲ Μοίσαις,

Fr. 130. Plut. de Is. et Osir. c. 35: *Ὅτι δὲ οὐ μόνον τοῦ οἴνου Διόνυσον, ἀλλὰ καὶ πάσης ὑγρᾶς φύσεως Ἕλληνες ἡγοῦνται κύριον καὶ ἀρχηγόν, ἀρκεῖ Πίνδαρος μάρτυς εἶναι λέγων· Δένδρον* (cod. Ven. *δένδρων*) *κτλ.* sed *δενδρέων* idem Symp. Quaest. IX 14, 4: *καὶ Διόνυσος δενδρέων νόμον πολυγαθὴς* (Dübner *πολυ(γα)θὴς*) *αὐξάνων, ἁ. φ. ὀπ.* et Erot. c. 15: *δενδρέων τε τρόπον Διον. πολύ τε φέγγος αὐξάνει, φέγγος ἁγν. ὀπ. Νομὸν* Boeckh, vulgo *νόμον.*

Fr. 131. Plut. de exil. c. 9: *ᾧ δ' ἔξεστιν εἰς μικρὰν ἀποβάντι νῆσον οὐ μικρῶν ἀπηλλάχθαι κακῶν, οὗτος ἄθλιός ἐστι μὴ προσλαλῶν ἑαυτῷ τὰ Πινδαρικὰ μηδ' ἐπᾴδων πολλάκις· ἐλαφρὰν κτλ.* — V. 1. *φιλέειν,* Ahrens *φιλεῖν.* — V. 2. *περιδαῖον* Hermann, vulgo *περιδαίων,* Meziriae *παριδαίων,* Hartung *ἐᾶν δὲ τρομέειν Κρῆτας περὶ δαΐων.* — V. 3. *ὅθεν ἄδρυς,* Reiske *ὅθεν ἀδρός,* Hartung *δέδοται πέδον, ἄδακρυς δὲ πενθέων κτλ.* — V. 4. *δ'* Boeckh, v. *δὲ.* — *οὐδὲ* om. codd. Par. Fortasse huc resp. Synes. Laus Calv. 77 D: *ἂν μὲν γὰρ ᾖ τῆς Πινδάρου τυγχάνειν εὐχῆς καὶ ζῆν ἔχωμεν ἀπὸ τῶν οἰκείων, ἐν καλῷ τοῦ θεάτρου καθιζησόμεθα.*

Fr. 132. Athen. V 191 F: *πρὸς εὐθυμίαν, ἣν ὁ Πίνδαρος αἰτεῖται παρὰ τοῦ Διός· τί δ' ἔρδων κτλ.* Eadem Eust. Od. 1490, 38. — V. 1. *Τί* om. B. Conieci *ὅ τι* probante Schneidewino.

Εὐθυμία τε μέλων εἴην,
τοῦτ' αἴτημί σε.

133. [57.]

⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑
⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – –
– ⏑ ⏑ . . . .

Ὁ ζαμενὴς δ' ὁ χοροιτύπος,
ὃν Μαλεάγονος ἔθρεψε Ναΐδος ἀκοίτας
Σειληνός.

134. [128.]

⏑ – ⏑ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – –

Ὦ τάλας ἐφάμερε, νήπια βάζεις χρήματά μοι διακομπέων.

135. [129.]

⏑ – ⏑ ⏑ – ⏑ ⏑ – – ⏑ ⏑ –

Ταῖς ἱεραῖσι μελίσσαις τέρπεται.

136. [132.]

– ⏑ – ⏑ ⏑ – – ⏑ ⏑ – ⏑

Ἀνδρῶν δικαίων χρόνος σωτὴρ ἄριστος.

V. 3. *Εὐθυμία*, Eust. *εὐθυμία*. — *τε*, Hartung *δέ*. — *μέλων* Casaubonus, v. *μελῶν*. — V. 4. *αἴτημι* ABC Eust., *αἰτοῦμαι* PVL.

Fr. 133. Pausan. III 25, 2: *Τραφῆναι μὲν δὴ τὸν Σιληνὸν ἐν τῇ Μαλέᾳ δηλοῖ καὶ τάδε ἐξ ἄσματος Πινδάρου· Ὁ ζαμενὴς δὲ κτλ.* — V. 1. Boeckh *δ'*. — V. 2. *Μαλεάγονος* Camerarius, *Μαλέγορος* vel *μελέγορος* libri. Deinde AgVaAMLab *ἔθρεψεν ἀΐδος* vel *ἄϊδος*. — V. 3. *Σειληνός* Boeckh, v. *Σιληνός*. Boeckh inter dithyrambos retulit.

Fr. 134. Schol. Arist. Nub. 223: *τί με καλεῖς, ὦ ᾽φήμερε; ἐλέγετο δὲ ὁ Σωκράτης τὴν ὄψιν Σειληνῷ παρεμφέρειν· σιμός τε γὰρ καὶ φαλακρὸς ἦν. περιέθηκεν οὖν αὐτῷ τὴν τοῦ παρὰ Πινδάρῳ Σειληνοῦ φωνήν· ὁ γάρτοι Πίνδαρος διαλεγόμενον παράγων τὸν Σειληνὸν τῷ Ὀλύμπῳ τοιούτους αὐτῷ περιέθηκε λόγους· Ὦ τάλας κτλ.* Ead. Suidas v. *ὦ ᾽φήμερε*. *ἐφάμερε* Herm., Schneidewin *ἐπάμερε*, vulgo *ἐφήμερε*. — *νήπια* Küster et Reitz, vulgo *νήπιε*. — *διακομπέων* Hermann, Küster *διακομπῶν*, Suidas pariter atque Schol. Arist. *διακομπεύων* (cod. Ven. *χρήμ. μοι διακ.* om.). Hartung ad Dithyrambos revocavit.

Fr. 135. Schol. Pind. Pyth. IV 104: *ὅτι τὰς περὶ τὰ θεῖα μύστιδας καὶ μελίσσας φασίν, ἑτέρωθι ὁ αὐτός φησι· ταῖς ἱεραῖς μ. τ. ἱεραῖσι* Boeckh.

Fr. 136. Dionys. Halic. de orator. ant. c. 2: *ἀλλὰ γὰρ οὐ μόνον ἀνδρῶν δικ. χρ. σ. ἄριστος, κατὰ Πίνδαρον, ἀλλὰ καὶ τε¸νῶν νὴ Δία καὶ ἐπιτηδευμάτων γε.*

137.

Θανόντων δὲ καὶ λόγοι φίλοι προδόται.

138. [134.]

. . . . . – –
⏑ – ⏑ – – ⏓ ⏑⏑ – ⏑ [⏑ –] . . .
. . . . . *Οἱ μέν*
κατωκάρα δεσμοῖσι δέδενται . . . . .

139.

. . . – – ⏓ ⏑ –
⏓ ⏑ ⏑ – ⏑ ⏑ – ⏒
Πίτναντες θοάν
κλίμακ' ἐς οὐρανὸν αἰπύν.

140. [137.]

– ⏓ ⏑⏑ – ⏑ – ⏓ ⏑⏑ – ⏑ ⏓ ⏑ ⏓ ⏑ – –
Ἀλλαλοφόνους ἐπάξαντο λόγχας ἐνὶ σφίσιν αὐτοῖς.

141. [142.]

⏑ ⏓ ⏑ ⏑ – ⏓ ⏑ ⏒
Φιλόμαχον γένος ἐκ Περσέος.

Fr. 137. Stob. Flor. CXXVI 2: *Πινδάρου*, ita cod. Vind., *Μενάνδρου* margo Gesn. Videtur *λόγοι* delendum esse: nam poeta dicere volebat: mortuos vel ab amicis prodi, mortuorum nullam esse gratiam.

Fr. 138. Schol. Arist. Pac. 153: *κατωκάρα· οὕτως λέγουσιν Ἀττικοί, οὐ διηρημένως, ἀλλ' ὑφ' ἕν· Οἱ μ. κ. δε. δ.* (Bekker *δεσμοῖσιν δέδεντε*)· Fort. *δεσμοῖς*. Suidas *Κατωκάρα· οἱ Ἀττικοὶ ὑφ' ἓν ἀναγινώσκουσι ... Πίνδαρος· οἱ μὲν κτλ.* Eadem Gregor. Cor. 124. Videntur haec de Cercopibus dicta esse: minus recte Boeckh de Titanibus interpretatur et ad hymnum primum refert.

Fr. 139. Cram. An. Ox. I 201, 14: *Θοὸς . . . σημαίνει δὲ καὶ τὸ μέγα. Πίνδαρος ἐπὶ τοῦ Ὤτου καὶ Ἐφιάλτου· Πίτνοντες θοὰν κλίμακα οὐρανὸν ἐς αἰπύν. τὴν μεγάλην δηλονότι. πίτναντες* Hermann, *κλίμακ' ἐς οὐρανὸν* scripsi. Etiam quod sequitur ex Pindaro, fortasse ex eodem carmine, petitum videtur: pergit enim grammaticus:

Θοαῖς ἀφροσύναις

ἀντὶ τοῦ μεγάλαις. sed quae addit *Θοὴ δ' ἐπεδέξατο γᾶ* (rectius Et. M. 453, 8: *Θοὴ δ' ὑπεδέξατο γαῖα*) et *Θοῆς ἔστηκε πόλεως* (*πόληος*) ex epico poeta petita arbitror.

Fr. 140. Apollon. Dysc. de Synt. II 179 ed. Bekk.: *ὥσπερ καὶ τὸ Πινδαρικὸν οἱ περὶ Τρύφωνα ἐσημειοῦντο ἐπί τε τοῦ Ὤτου καὶ τοῦ Ἐφιάλτου* (A *ἐπιάλτου*), *συγκατατιθέμενοι μὲν τῷ· ἀλλαλοφόνους ἐπάξ. λ. οὐ μὴν τῷ· ἐνὶ σφίσιν αὐτοῖς, οὐ γὰρ ἑαυτοῖς τὰ δόρατα ἐνῆκαν, ἀλλ' ἀλλήλοις.* Hartung scripsit *λόγχας ἐπαΐξαντ' ἐνί.* Ex eodem carmine est, ex quo petitum fr. 139.

Fr. 141. Athen. IV 154 F: *Φιλ. γ. ἐκ Περσέως παρὰ Πινδάρῳ. Περσέος* Boeckh.

142. [146.]

⏑ – ⏑ – – ⏑ – – ⏑ – –

Ἰσοδένδρου τέκμαρ αἰῶνος λαχοῖσαι.

143. [147.]

⏑ – – – – – – ⏑ – – – ⏑ – – – – ⏑

⏑ – – – – – – ⏑ – – – – – –

⏑ – – – – – – ⏑ – – – – –

– ⏑ – – – ⏑ – . . . . . .

Ἀνδροδάμαντα δ' ἐπεὶ Φῆρες δάεν ῥιπὰν μελιαδέος οἴνου,
ἐσσυμένως ἀπὸ μὲν λευκὸν γάλα χερσὶ τραπεζᾶν
ὤθεον, αὐτόματοι δ' ἐξ ἀργυρέων κεράτων
πίνοντες ἐπλάζοντο.

144. [148.]

[⏑] – – ⏑ – – – – –

⏑ – – – ⏑ – – – ⏑ – –

. . Ὁ δὲ χλωραῖς ἐλάταισι τυπείς
οἴχεται Καινεὺς σχίσαις ὀρθῷ ποδὶ γᾶν.

Fr. 142. Plut. Amator. c. 15: *ἢ γὰρ οὐ νύμφαι τινὲς αὐτοῖς δρυάδες εἰσίν· Ἴσον δένδρου ... λαχοῦσαι ... κατὰ Πίνδαρον.* et de defect. orac. c. 11: *πλέον δ' οὐδὲ Πίνδαρος εἴρηκεν, εἰπὼν τὰς νύμφας ζῆν Ἰσοδένδρου τέκμωρ αἰῶνος λαχούσας.* Schol. Apoll. Rhod. II 477: *Καὶ Πίνδαρος δέ φησι περὶ νυμφῶν ποιούμενος τὸν λόγον· Ἰσοδ. τε. αἰ. λαχοῦσα* et Et. M. 75, 44. Heyne *λαχοῖσαι* scripsit.

Fr. 143. Athen. XI 476 B: *Καὶ τῶν ποιητῶν πολλοὶ παράγουσι πίνοντας τοὺς ἀρχαίους κέρασι, Πίνδαρος μὲν ἐπὶ τῶν Κενταύρων λέγων· Ἀνδροδάμαντα δ' κτλ.* Affert etiam Eust. Il. 916, 39, idem resp. 917, 63 et ut Ruhnken putat Et. M. 504, 31, ubi *Πίνδαρος* pro *Πείσανδρος* corrigit. — V. 1. *ἀνδροδάμαντα δ'* Boeckh, *ἀνδροδάμαν δ'* Casaubonus *ἀνδροδάμαν δ' ἄρ'* Schneidewin, *ἀδάμαντα δ'* Hermann; PVL *ὁ δάμαν δ'*, om. C Eust. — *ῥιπὰν*, B *ῥυπὰν*. — *μελιαδέος* Boeckh, v. *μελιηδέος*. — V. 2. *ἐσσυμένως* om. Eust. — *τραπεζᾶν* C, *τραπεζὰν* Eust., *τράπεζαν* BPVL. — V. 3. *ὤθεον*, B *ἔνθεον*. — *αὐτόματοι*, fort. *ἀλέματοι*. Respicit carmen hoc Horat. Od. IV 2, 13: „Seu Deos regesve canit Deorum Sanguinem, per quos cecidere iusta Morte Centauri, cecidit tremendae Flamma Chimaerae."

Fr. 144. Schol. Apoll. Rhod. I 57 (eadem Eudoc. 250): *Ὁ δὲ Ἀπολλώνιος παρὰ Πινδάρου εἴληφε λέγοντος· ὁ δὲ χλωραῖς* (ita Laur., v. *χλωρῇς*) *ἐλάτῃσι τ. οἴχεται* (ita Laur., v. *ὤχετο*) *Καινεὺς σχίσας ὁ. π. γ.* sed P *ὤχετ' εἰς χθόνα*, reliquis omissis Plutarch. de absurd. Stoic. opin. c. 1: *ὁ Πινδάρου Καινεὺς εὖθυναν ὑπεῖχεν, ἀπιθάνως ἀρρηκτος σιδήρῳ καὶ ἀπαθὴς τὸ σῶμα πλασσόμενος, εἶτα καταδὺς ἄτρωτος ὑπὸ γῆν, σχίσας ὀρθῷ ποδὶ γᾶν.* Boeckh, qui v. 1 *χλωραῖς ἐλάταισι* scripsit, v. 2 edidit *ὤχεθ' ὑπὸ χθόνα Καινεὺς σχίσαις.* Pertinet autem ad idem carmen, unde fr. 143 petitum est.

145. [150.]

Διὰ βοῶν θερμὰ δ' εἰς ἀνθρακιὰν στέψαν πυρὶ δ' ὑπνόων τε σώματα· καὶ τότ' ἐγὼ σαρκῶν τ' ἐνοπὰν ἠδ' ὀστέων στεναγμὸν βαρὺν ἦν ἰδόντα διακρῖναι πολλὸς ἐν καιρῷ χρόνος.

146. [151.]



Fr. 145. Athen. X 411 B: *Ἴων δ' ἐν Ὀμφάλῃ ἐμφανίσας αὐτοῦ* (Herculis) *τὴν ἀδηφαγίαν ἐπιφέρει· ὑπὸ δὲ τῆς εὐφημίας Κατέπινε καὶ τὰ κἄλα καὶ τοὺς ἄνθρακας. παρὰ Πινδάρου δὲ τοῦτ' εἴληφεν εἰπόντος· Διὰ βοῶν* (sic VL, *διαβοῶν* P) *θερμὰ δ' εἰς* (PVL *θερμὰ εἰς*) *ἀνθρακιὰν στέψαν πυρὶ δ'* (AB hic repetunt *εἰς ἀνθρακίαν στέψαν πυρὶ δ'*) *ὑπνόων τε* (VL *πυριπνόων τε*) *σώματα κτλ.* Locus ab initio graviter corruptus, cum haud dubie quaedam exciderint. Boeckh scripsit: *Διὰ βοῶν | θέρμ' ἔδει ἀνθρακιὰν στέψαντα πυρίπνοά τε | σώματα· καὶ τότ' ἐγὼ σαρκῶν τ' ἐνοπὰν | εἶδον ἠδ' ὀστέων στεναγμὸν βαρύν· | ἦν δὲ ἰδ. κτλ.* Ego in proecdosi: *Διὰ βοῶν κατέπινεν θέρμ' ἅλις ἀνθρακιὰν* in ceteris Boeckhium secutus. Extrema sic videntur corrigenda: *σώματα κεῖτο τέγει· σαρκῶν τ' ἐνοπὰν ἠδ' ὀστέων στεναγμὸν βαρὺν | ἦν διακρῖναι ἰδόντα πολλὸς ἐν καιρῷ χρόνος.* Meineke scripsit *διὰ βοῶν | θερμὰν ἐς ἀνθρακιὰν τρέψας πυρπολέων τε | σώματα. καὶ τότ' ἐγὼ σαρκῶν τ' ἐνοπὰν | (ἄιον) ἠδ' ὀστέων στεναγμὸν βαρύν. ἦν ἰδόντα κτλ.* Hartung *διὰ βοῶν θερμὰν | εἰς ἀνθρακιὰν στρέψεν πυριπνέοντα | σώματα· . . . . ὀστέων | στεναγμὸν βαρύνθην ἰδών, τὰ διακρῖναι | πολλὸς οὐ παρῆν χρόνος*, ex parte usus Casauboni coniecturis, qui tentavit haec: *βρῦκε βοῶν θερμὰν εἰς ἀνθρακιὰν στρέψας πυριπνέοντα σώματα· καὶ . . . βαρύνθην ἰδών, τὰ διακρῖναι πολλὸς ἐν καιρῷ χρόνος.* Respicit huc Philostr. Imagg. II 24: *Ὀργίζεται τῷ Ἡρακλεῖ ὁ Θειοδάμας ὅτι ἀροῦντι αὐτῷ ἐπιστὰς ἀποσφάττει τὸν ἕτερον τῶν βοῶν καὶ σιτεῖται, σφόδρα ἐθὰς ὢν τοῦ τοιούτου σιτίου· Ἡρακλεῖ γάρ που παρὰ Πινδάρῳ ἐνέτυχες, ὁπότε εἰς τὴν τοῦ Κορώνου στέγην ἀφικόμενος σιτεῖται βοῦν ὅλον, ὡς μηδὲ τὰ ὀστέα περιττὰ ἡγεῖσθαι, Θειοδάμαντι δὲ περὶ βουλυτὸν ἐπιφοιτήσας καὶ πῦρ κομισάμενος, ἀγαθοὶ δὲ ἐμπυρεύσασθαι καὶ οἱ λίθοι, ἀπανθρακίζει τὸν βοῦν ἀποπειρώμενος τῶν σαρκῶν, εἰ μαλάττονται ἤδη, καὶ μονονουχὶ ἐγκαλῶν τῷ πυρὶ ὡς βραδεῖ.*

Fr. 146. Plato Gorg. 484 B: *Δοκεῖ δέ μοι καὶ Πίνδαρος ἅπερ ἐγὼ λέγω ἐνδείκνυσθαι ἐν τῷ ᾄσματι ἐν ᾧ λέγει, ὅτι Νόμος ὁ πάντων β. θ. τε καὶ ἀθ. οὗτος δὲ δή, φησίν, ἄγει . . . Ἡρακλέος, ἐπεὶ ἀπριάτας, λέγει οὕτω πως· τὸ γὰρ ᾄσμα οὐκ ἐπίσταμαι· λέγει δ' ὅτι οὔτε δόντος τοῦ Γηρυόνου ἠλάσατο τὰς βοῦς· ὡς τούτου ὄντος τοῦ δικαίου φύσει καὶ βοῦς καὶ τἆλλα κτήματα εἶναι πάντα τοῦ βελτίονός τε καὶ κρείττονος τὰ τῶν χειρόνων τε καὶ τῶν ἡττόνων.* Boeckh censet initio *κατὰ φύσιν* addendum esse propter p. 488 B: *Πῶς φῂς τὸ δίκαιον*

Νόμος ὁ πάντων βασιλεύς
θνατῶν τε καὶ ἀθανάτων
ἄγει δικαιῶν τὸ βιαιότατον
ὑπερτάτᾳ χειρί· τεκμαίρομαι
ἔργοισιν Ἡρακλέος· ἐπεὶ Γηρυόνα βόας

ἔχειν καὶ σὺ καὶ Πίνδαρος, τὸ κατὰ φύσιν ἄγειν βίᾳ τὸν κρείττω τὰ τῶν ἡττόνων. sed ibi potius interpungendum *καὶ σὺ καὶ Πίνδαρος τὸ κατὰ φύσιν, ἄγειν κτλ.* Favere tamen Boeckhii sententiae (qui propterea etiam in priore Gorgiae loco coniecit *οὗτος δὲ δὴ φησίν, κατὰ φύσιν* vel *φύσει ἄγει*) videtur Plato Legg. IV 714 D: *καὶ ἔφαμέν που κατὰ φύσιν τὸν Πίνδαρον ἄγειν δικαιοῦντα τὸ βιαιότατον, ὡς φάναι.* et multo magis ib. III 690 B: *πέμπτον γε οἶμαι τὸν κρείττονα μὲν ἄρχειν, τὸν ἧττω δὲ ἄρχεσθαι. Μάλα γε ἀναγκαίαν ἀρχὴν εἰρηκας. Καὶ πλείστην γε ἐν ξύμπασι τοῖς ζώοις οὖσαν καὶ κατὰ φύσιν, ὡς ὁ Θηβαῖος ἔφη ποτὲ Πίνδαρος.* At videtur *κατὰ φύσιν* potius interpretandi gratia ubique a Platone adiectum: nam quominus altero loco Legum ipsa Pindari verba servata esse credas prohibere videntur, quae subiuncta sunt: *τὸ δὲ μέγιστον, ὡς ἔοικε, ἀξίωμα ἕκτον ἂν γίγνοιτο, ἕπεσθαι μὲν τὸν ἀνεπιστήμονα κελεῦον, τὸν δὲ φρονοῦντα ἡγεῖσθαί τε καὶ ἄρχειν· καίτοι τοῦτό γε, ὦ Πίνδαρε σοφώτατε, σχεδὸν οὐκ ἂν παρὰ φύσιν ἔγωγε φαίην γίγνεσθαι, κατὰ φύσιν δέ, τὴν τοῦ νόμου ἑκόντων ἀρχήν, ἀλλ' οὐ βίαιον πεφυκυῖαν.* Minus etiam probat Hesychius: *Νόμος πάντων ὁ βασιλεύς, κατὰ τὴν φύσιν.* Neque Dissenio assentiendum, qui putat alios *παρὰ φύσιν* legisse, ut poeta scripserit *πάντα δὲ παρὰ φύσιν*, collato Plat. Protag. 337 D: *ὁ δὲ νόμος τύραννος ὢν τῶν ἀνθρώπων πολλὰ παρὰ τὴν φύσιν βιάζεται.* — Neque lectum fuisse apud Pindarum *κατὰ φύσιν* confirmat Schol. Pind. Nem. IX 35: *ὁ δὲ ἰσχυρὸς ἀνὴρ τὸ προϋπάρχον δίκαιον καταπανύει· ἐν ἄλλοις Πίνδαρος· Νόμος . . . χειρί.* Nihil tribuendum Aristidi II 68, qui ex Platone descripsit totum locum usque ad *τεκ. ἔ. Ἡρ. ἐπεὶ ἀπριάτας.* — Celeberrimam sententiam de legis imperio respiciunt Herodot. III 38: *καὶ ὀρθῶς μοι δοκέει Πίνδαρος ποιῆσαι νόμον πάντων βασιλέα φήσας εἶναι.* Plut. ad p̄rinc. indoct. c. 3, vit. Demet. c. 42, Origen. adv. Cels V 255, Clem. Str. I 427. II 438 (v. 1. 2), Dio Chrys. Or. LXXV p. 751, Iamblich. ap. Stob. Flor. XLVI 77, Liban. III 364. — V. 3. *δικαιῶν τὸ βιαιότατον* Schol. Pind. et Aristid. non solum in versibus, sed etiam in explicatione, ap. Plat. vulgo *βιαίως τὸ δικαιότατον* (quae antiqua satis dittographia in Pindari codicibus fuisse videtur), ubi *βιαίων* ΨΓΔΣΤΦBCI, *βιαιῶν* Ξ, om. F et VZa m. pr. (VZa m. sec. *πάνθ'*, et praeterea *τὸ δικαιότατον* om.) sed idem V in marg. *δικαιῶν τὸ βιαιότατον.* Firmat hoc Plato ipse de Leg. IV 714 B: *τὸν Πίνδαρον ἄγειν δικαιοῦντα τὸ βιαιότατον.* Respicit ibid. X 890 A: *ἰδιωτῶν τε καὶ ποιητῶν, φασκόντων εἶναι τὸ δικαιότατον, ὅτι τις ἂν νικᾷ βιαζόμενος,* adde Liban. III 30 ed. Reiske: *δεδοικὼς αὐτοῦ* (Pindari) *τὴν διδαχὴν καὶ φοβούμενος, μή τις τῶν νέων ἀκούσας, ὡς ὑπερτάτῃ χειρὶ βιάζεται τὸ δίκαιον, ἀμελήσας τῶν νόμων ἀσκεῖ τὼ χεῖρε* (quae ibi subiunguntur de Anyto furtim Pindari versus immutante, fortasse ad dittographiam illam referenda sunt). et Boisson. An. Nov. 303: *Ὁ Πίνδαρος ἐπαινεῖται, ὑπερτάτᾳ χειρὶ τὸ δίκαιον ὁριζόμενος.* — V. 4. ap. Plat. ΞΣ *ὑπερτάτῃ* et V *χερὶ* (hoc etiam Θ ap. Arist.). — V. 5. *Ἡρακλέος* ap. Plat. ΨΓΞΣTBCFIWV (a. m. pr.) ap. Aristid. N, vulgo utroque l. *Ἡρακλέους.* — *ἐπεὶ Γ. β.* et v. 6. 7 solus servavit schol. Aristid. III 408 (adde Schol. cod. Vatic. II 710): *τὰ λοιπὰ τῆς χρήσεως ἦν οὕτως· ἐπεὶ Γηρυόνου βόας Κυκλωπείων ἐπὶ προθύρων Εὐρυσθέως συναιρεῖται* (Ox. Vat. *ἀναιρεῖται*) *καὶ* (Vat. *καὶ εἰ*) *ἀπριάτας ἔλασεν* (Vat. Ox. *ἤλασεν*) *ὁ δὲ νοῦς τοιοῦτος, ἐπειδὴ τὰς τοῦ Γηρυόνου βόας οὔτε αἰτήσας*

Κυκλωπίων ἐπὶ προθύρων Εὐρυσθέος
ἀναιτήτας τε καὶ ἀπριάτας ἤλασεν.

147. [154.]

⏑́ ⏑ ⏑ – ⏑ ⏑ ⏓

Πάντα θύειν ἑκατόν.

148. [157.]

. . ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ –

– ⏑́ ⏑ – – ⏑́ ⏑ – – ⏑́ ⏑ –

. . *Κατὰ μὲν φίλα τέκν' ἔπεφνεν*
θάλλοντας ἥβᾳ δυώδεκ', αὐτὸν δὲ τρίτον.

149. [158.]

– ⏑́ ⏑ ⏑ – ⏑ ⏑ – – ⏑́ ⏑ ⏑ – ⏑ ⏑ – – ⏑́ ⏑ –

– ⏑́ ⏑ – – ⏑́ ⏑ – – ⏑́ ⏑ ⏑ – ⏑ ⏑ –

⏑́ ⏑ – – ⏑́ ⏑ ⏑ – ⏑ ⏑ – – ⏑́ ⏑ ⏑ – ⏑ ⏑ – – ⏑́ ⏑ ⏓

⏑́ ⏑ – – ⏑́ ⏑ – ⏑́ ⏑ – – ⏑́ ⏑ –

Οὐ Πηλέος ἀντιθέου μόχθοις νεότας ἐνέλαμψεν μυρίοις;
πρῶτον μὲν Ἀλκμήνας σὺν υἱῷ Τρώϊον ἀμ πεδίον,
καὶ μετὰ ζωστῆρας Ἀμαζόνος ἦλθεν, καὶ τὸν Ἰάσονος εὔ
δοξον πλόον
ἐκτελέσσαις εἷλε Μήδειαν ἐν Κόλχων δόμοις.

οὔτε πριάμενος ἤλασεν εἰς τὸν οἶκον τοῦ Εὐρυσθέως. unde Boeckh praeclare *ἀναιτήτας* scripsit, qui etiam cetera correxit.

Fr. 147. Strabo III 155: *ποιοῦσι δὲ καὶ ἑκατόμβας* (Lusitani) *ἑκάστου γένους Ἑλληνικῶς ὡς καὶ Πίνδαρός φησι· Πάντα θ. ἑ.*

Fr. 148. Schol. Il. κ 252: *οἷον· κατὰ μὲν φίλα τέκνα ἔπεφνε θάλλοντα* (*θάλλοντας* Boeckh) *ἥβᾳ δυώδεκα, αὐτὸν δὲ τρίτον· ἀντὶ τοῦ τρίτον καὶ δέκατον, καὶ τετράτῳ δ' αὐτὸς πεδάθη φησὶν ὁ Πίνδαρος ἀντὶ τοῦ τετάρτῳ καὶ δεκάτῳ.*

Fr. 149. Schol. Eurip. Androm. 781: *Οἱ μὲν πλείους Τελαμῶνά φασι συστρατεῦσαι τῷ Ἡρακλεῖ ἐπὶ τὴν Ἴλιον, ὁ δὲ Πίνδαρος καὶ Πηλέα, παρ' οὗ ἔοικε τὴν ἱστορίαν ὁ Εὐριπίδης λαβεῖν· λέγει δὲ ὁ Πίνδαρος· Οὐ Πηλέως κτλ.* — V. 1. *οὐ*, Cobet coni. *οὕτω*, ut sit scholiastae. — *Πηλέος* Boeckh, v. *Πηλέως*. — *μόχθοις νεότας* scripsi, vulgo *μόχθοιν νεώτατον*, Va *μόχθοιν νεώτατ'*, Ve *μοχθοινεωτάτοις*. — *ἐνέλαμψεν* scripsi, *ἐπέλαμψεν* vel *ἐπέλαμψε* libri, vulgo *ἐπιλάμψαι*. Boeckh coni. *μόχθοι νεότατ' ἐπέλαμψαν μυρίοις*, Hermann *μόχθοι νεότατ' ἐπέλαμψαν μυρίοι*. — V. 2. *Ἀλκμήνας* Boeckh, v. *Ἀλκμήνης*. — *υἱῷ*, Va *ὑμῖν*. — *Τρώϊον* Boeckh, libri *Τρώων*. — *πεδίον* VaVe. ut Boeckh coniecerat, vulgo *πέδιλα*. — V. 3. *Ἀμαζόνος* Bothe, vulgo *Ἀμαζόνας*. Cobet *ζωστῆρ' Ἀμαζόνος*, Hermann *ζωστῆρ' ὅτ' Ἀμαζόνος*, Schneidewin *ζωστῆρ' ἅμ' Ἀμαζόνος*. — *ἦλθεν* Boeckh, v. *ἦλθε*. — *εὔδοξον* om. Ve. — V. 4. *ἐκτελέσσαις* Schneidewin, *ἐκτελέσας* Va, vulgo *ἐκτελευτήσας*, hinc Boeckh *ἐκτελευτάσαις ἕλεν*. — *ἐν Κόλχων δόμοις* VaVe, *ἐκ Κόλχων δόμων* vulgo: locus de vitio suspectus.

150. [160.]

⏑ ⏑́ ⏑ – ⏑ – ⏑ – ⏑ ⏑̲

Σύριον εὐρυαίχμαν διεῖπον στρατόν.

151. 152. 153. [159. 161. 162.]

Pausan. VII 2, 7: *Πολλῷ δὴ πρεσβύτερα ἔτι ἢ κατὰ Ἴωνας τὰ ἐς τὴν Ἄρτεμιν τὴν Ἐφεσίαν ἐστίν· οὐ μὴν πάντα γε τὰ εἰς τὴν θεὸν ἐπύθετο, ἐμοὶ δοκεῖν, Πίνδαρος, ὃς Ἀμαζόνας τὸ ἱερὸν ἔφη τοῦτο ἱδρύσασθαι στρατευομένας ἐπὶ Ἀθήνας τε καὶ Θησέα.* — Idem I 2, 1: *Ἐσελθόντων δὲ ἐς τὴν πόλιν ἐστὶν Ἀντιόπης μνῆμα Ἀμαζόνος· ταύτην τὴν Ἀντιόπην Πίνδαρος μέν φησιν ὑπὸ Πειρίθου καὶ Θησέως ἁρπασθῆναι.* — Plut. vit. Thes. c. 28: *Τῆς δὲ Ἀντιόπης ἀποθανούσης ἔγημε (Θησεὺς) Φαίδραν, ἔχων υἱὸν Ἱππόλυτον ἐξ Ἀντιόπης, ὡς δὲ Πίνδαρός φησι, Δημοφῶντα.* Haec tria fragmenta ad idem carmen pertinere verisimile est.

154. 155. 156. 157. 158. [164—168.]

⏑̲ – ⏑ – ⏑ – ⏑ – ⏑ –

⏑̲ – ⏑ ⏑ – ⏑ – ⏑ – ⏑ –

Πεπρωμέναν θῆκε μοῖραν μετατραπεῖν
ἀνδροφθόρον, οὐδὲ σιγᾷ κατερρύη.

Fr. 150. Strabo XII 544: *Καὶ Πίνδαρός φησιν ὅτι αἱ Ἀμαζόνες Σύρ. εὐρ. διεῖπον* (*διῖπον* C, *δίηπον* lw, *δίεπον* oxz) *στρ. τὴν ἐν τῇ Θεμισκύρᾳ κατοικίαν οὕτω δηλῶν. ἡ δὲ Θεμίσκυρά ἐστιν ἡ τῶν Ἀμισηνῶν. αὕτη δὲ Λευκοσύρων τῶν μετὰ τὸν Ἅλυν.* Pro *Σύριον* Welcker *Σκύριον*, non recte probante Schneidewino.

Fr. 154—158. Priscian. de metris Comic. p. 248 ed. Lindem.: „Pindarus teste Heliodoro *ἀντέστρεψεν*, hoc est *convertit* rhythmum iambicum hoc modo: *Πεπρωμέναν ἔθηκεν μοῖραν μετατραπεῖν Ἀνδροφθόρον οὐδὲ σιγᾷ κατερρύη* (R *Πεπρωαιενεεκεν*, A *εενκεν*, V *εθηκεν*., deinde R om. *μοῖραν μετ. ἀνδρ.*, tum R *αιδεσιταικατερριη*, A *οιδε*). In secundo enim iambo pyrrhichium secundum et tertium trochaeum et quartum spondeum posuit. Idem: *Τροχὸν μέλος αἱ δὲ Χείρωνος ἐντολαί* (R *τροχον α. αεανοςεντοαλι*, A *χειρονως*, Putsch. *ἐντολὰς*). Hic iambus in tertio trochaeum habet et in quarto spondeum. Idem *Αἴνιγμα π. ἐξ ἀγρίαν γν.* (VRA *ιταρεενου*). Hic quarto loco spondeum posuit. Idem *ἐν δασκίοισιν πατήρ, νηλεεῖ νόῳ δ'* (ita Hermann, Putsch. *ἐν δ' ἀσκίοισιν πατὴρ ἦν ἐεινοωα*, sed V *εν δ' ασκιοισι*, R *ενδασκιοισινσιατηρδια*, A *ενδασκυουσινπατερνηλεεινοωλι*). In hoc quoque iambo trochaeum in tertio loco posuit, et in quarto spondeum. Idem *δ' οὐδὲν προσαιτέων ἐφθεγξάμαν ἔπι.* (sic Hermann, vulgo *ἔφη· ἑζόμαν ἔπι*, V *δ' ουδεν*, R *δουδεν*, A diŏden, deinde V *εφετξαμανεπι*, A *εφεετξαμανεπι*). Hic similiter in quarto loco spondeum habet." Heliodori verbum *ἀντέστρεψεν*, quod ad strophicam responsionem referendum est, non intellexit Priscianus, nec tamen utar nunc hoc argumento, ut fr. 154 v. 1 a v. 2 dirimendum putem, quamquam aequabilitatem facile restituas (potest *ἀνδροφθόρων* scribi aut produci extrema syllaba), nam sententiae tam apta est necessitudo, vix ut

Τροχὸν μέλος· ταὶ δὲ Χείρωνος ἐντολαί.

– ⏑́ ⏑ – ⏑ – ⏒ ⏑́ ⏑ – ⏑ –

Αἴνιγμα παρθένου δ' ἐξ ἀγριᾶν γνάθων.

Ἐν δασκίοισιν πατήρ· νηλεεῖ νόῳ δ'.

Δ' οὐδὲν προσαιτέων ἐφθεγξάμαν ἔπι.

159. [169.]

⏒ ⏑́ ⏑ – – ⏑́ ⏑ – – ⏑́ ⏑ ⏑ ⏓

Νόμων ἀκούοντες θεοδμάτων κέλαδον.

160. [170.]

. . . . ⏑ – ⏑́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑́ ⏑ ⏓

– ⏑́ ⏑ . . . . . .

Ὑφαίνω δ' Ἀμυθαονίδαις ποικίλον ἄνδημα.

divellendos esse versus credibile sit. Scripsi autem v. 1 *θῆκε* pro *ἔθηκε*, quod cum iam Heliodorus reperisset, eo adductus est, ut senarium hunc esse existimaret et non solum eos versus qui huic respondent, sed etiam alios plane diversi numeri eodem revocaret. — Fr. 155. *ταὶ δὲ* Hermannum secutus scripsi pro *αἱ δὲ*, quod per se numero versus non officit, nam tunc foret versus compositus ad exemplum v. 2 fr. 154; quod si *ταὶ δὲ* scribimus respondet hic versus versui 1, et hoc suadent Prisciani verba, nisi forte apud Priscianum ommissa sunt verba: *in secundo pyrrhichium et.* — Fr. 156 *παρθένου δ'* scripsi, in libris *δ'* deest: constat hic versus pariter atque fr. 158 ex duabus tripodiis iambicis. — Fr. 157. respondet fr. 154 v. 1. — Fr. 158. respondet fr. 156. Fuit haud dubie *ἐγὼ δ' | οὐδὲν κτλ.* Pro *ἔπι* Hermann etiam *ἔτι*, possis etiam *ἐπεί*, ut ipsa oratio subsequatur. Ceterum in hoc carmine poeta Oedipi fortunam, qui Sphingem superavit, decantaverat, in quo obiter potuit etiam Chironis praeceptorum mentio fieri.

Fr. 159. Prisc. de metr. com. p. 251 Lind.: „Idem (Heliodorus) ostendit Pindarum etiam trisyllabos in fine versus posuisse: *Νόμων ἀ. θεόδμητον κ.* ecce in hoc iambo in fine tribrachyn posuit, qui nec concatenatus esse potest cum consequente, quippe in consonantem desinens.“ R *νομον*, A *κουοντες*, R *θεονητον*, V *θεολνη τον.* scripsi *θεοδμάτων*, Boeckh *θεόδματον.* Versus videtur ex Hymno primo petitus et ad Cadmi nuptias pertinere, quamquam geminus versus illius carminis non extat: sed epodi quale diagramma fuerit, nescimus.

Fr. 160. Schol. Pind. Nem. VII. 116: *ἐπεὶ τὸ ποίημα ὑφάσματι παρέοικεν, ὡς καὶ αὐτὸς ἐν ἄλλοις· ὑφαίνω κτλ.* ubi vulgo *Ἀμυθαωνίδαις.*

161. [172.]

⏑ ∪ ∪ – ∪ ∪ – – ⏑ ∪ – – ⏑ ∪ ⏓

⏑ ∪ ∪ – ∪ ∪ – – ⏑ ∪ – – ⏑ ∪ – ∪ ∪ – – ⏑ ∪ ⏓

Μὴ πρὸς ἅπαντας ἀναρρῆξαι τὸν ἀχρεῖον λόγον·
ἔσθ' ὅτε πιστοτάτα σιγᾶς ὁδός· κέντρον δὲ μάχας ὁ κρατιστεύων λόγος.

* 162. [174.]

[⏑ ∪ ∪ –] ∪ ∪ – – ⏑ ∪ ∪ – ∪ ∪ – – ⏑ ∪ –

. . . . *Ὁ γὰρ ἐξ οἴκου ποτὶ μῶμον ἔπαινος κίρναται.*

163. [175.]

⏑ ∪ ∪ – ∪ ∪ – – ⏑ ∪ ∪ – ∪ ∪ –

⏓ – ⏑ ∪

Ὦ πόποι, οἷ' ἀπατᾶται φροντὶς ἐπαμερίων
οὐκ εἰδυῖα.

164. [177.]

⏑ ∪ ∪ – ∪ ∪ – ⏑̃ ∪ – – ⏑ ∪ – –

⏑ ∪ ∪ – ∪ ∪ – ⏑̃ ∪ – ∪ ⏓

Ὅς Δολόπων ἄγαγε θρασὺν ὅμιλον σφενδονᾶσαι,
ἱπποδάμων Δαναῶν βέλεσι πρόσφορον.

Fr. 161. Clem. Al. Str. I 345: *ἔστι γοῦν ἀκοῦσαι καὶ Πινδάρου τοῦ Βοιωτίου γράφοντος· Μὴ πρὸς ἅπ. κτλ. διατείνεται οὖν εὖ μάλα ὁ μακάριος ἀπόστολος παραινῶν ἡμῖν· μὴ λογομαχεῖν τε δι' οὐδὲν χρήσιμον ἐπὶ καταστροφῇ τῶν ἀκουόντων κτλ.* Primus versus legitur etiam ap. Theodoretum Gr. Aff Cur. I 19,21; apud utrumque est *τὸν ἀρχαῖον*, quod correxit Boeckh. — V. 2. vulgo *ὅτι πιστοτάταις σιγᾶς ὁδοῖς*, emendavit Sylburg, sed fort. legendum *πιστοτάται σιγᾶς ὁδοί*.

Fr. 162. Schol. Pind. Nem. VII 89: *Οὐδείς με ψέγει, ὅτι ἐπαινῶ τοὺς Αἰγινήτας· οὐ γὰρ πολίτας ὄντας ἐμαυτοῦ διὰ τοῦτο ἐπαινῶ. προσχαρίζεσθαι γὰρ ἂν ἐδόκουν διὰ τὴν οἰκειότητα ἐγκωμιάζων· ὁ γὰρ κτλ.* Pindaro probabiliter tribuit Boeckh.

Fr. 163. Aristid. II 547: *Καὶ πάλιν ὁρμηθεὶς ἐκ τῶν περὶ τῆς Ἐριφύλης λόγων, ὦ (ὦ Γ) πόποι, φησί (Πίνδαρος) κτλ. ἐπαμερίων ΓΘ, ἐφαμερίων ΔL — εἰδυῖα*, Boeckh *ἰδυῖα*.

Fr. 164. Strabo IX 431: *Ὁ μὲν οὖν ποιητὴς οὐδαμοῦ μέμνηται Δολοπικῆς στρατιᾶς κατὰ τοὺς περὶ Ἴλιον ἀγῶνας· οὐδὲ γὰρ αὐτῶν τὸν ἡγεμόνα Φοίνικα πεποίηκεν εἰς τοὺς κινδύνους ἐξιόντα, καθάπερ τὸν Νέστορα· ἄλλοι δὲ εἰρήκασι, καθάπερ καὶ Πίνδαρος, μνησθεὶς τοῦ Φοίνικος· ὃς Δολόπων κτλ.* Respicit Eust. Il. 311, 22. — V. 2. *πρόσφορον*, A (a manu pr.) cgi *πρὸς φόνον*.

165. [179.]

.. ⏑ – ⏑ ⏑́ ⏑ – ⏑ ⏓ ⏑ – ⏑

Ὑπερμενὲς ἀκαμαντόχαρμαν Αἶαν.

166. [184.]

⏑ ⏑́ ⏓ ⏑ – ⏓ ⏑ – ⏑ ⏒

Ἔτι δὲ τειχέων κηκίει καπνός.

167. [185.]

– ⏓ ⏑ – ⏓ ⏑ ⏑ – – ⏓ ⏑ – –

⏔ – ⏓ ⏑ ⏑ – ⏒

Αὐτόν με πρώτιστα συνοικιστῆρα γαίας
ἔσδεξαι τεμενοῦχον.

168. [186.]

– ⏓ ⏑ – – ⏓ ⏑ – – ⏓ ⏑ ⏑ – ⏓ ⏑ ⏒

Ἥρωες αἰδοίαν ἐμίγνυντ' ἀμφὶ τράπεξαν θαμά.

169. [190.]

⏓ ⏑ – – ⏓ ⏑ – – ⏓ ⏑ ⏑ – ⏓ ⏑ ⏑ – ⏑ ⏑ – ⏒

Φθέγμα μὲν πάγκοινον ἔγνωκας Πολυμνάστου Κολοφωνίου ἀνδρός.

Fr. 165. Choeroboscus I 106 (Bekk. An. III 1183): *καὶ παρὰ Πινδάρῳ· ὑπερμε. ἀκ. Αἶαν· περὶ οὗ ἔστιν εἰπεῖν, ὅτι ἡ κατὰ συνεκδρομὴν τοῦ Αἶαν ἐγένετο ἀκαμαντόχαρμαν, ἢ διὰ τὴν ἐπαλληλίαν τῶν φωνηέντων.* cod. Marc. *καὶ παρὰ Πινδάρῳ τὸ ὦ ἀκαμαντοχάμαρ οἷον ὑπ. ἀκαμαντοχάμαρ Αἶαν.* cf. Choerob. I 128. Et. M. 44, 45.

Fr. 166. Et. Gud. 321, 54: *Κίκυς ... καὶ παρὰ Πινδάρῳ· ἔστι δέ τοι χέκων ἀκύει καπνός.* Cram. An. Par. IV 35, 24: *ἔστι δὲ ταχέων κακίει καπνός.* Boeckh *ἔτι δὲ τειχέων*, ego *κηκίει* scripsi, sine *ἀνακηκίει* malis, Schneider *ἀνακικύει* coni. De Troiae ruina videtur sermo esse.

Fr. 167. Apollon. de Synt. II p. 138 ed. Bekk. sine auctoris nomine: *Αὐτόν με κτλ.* sed A in m.: *Πινδάρου ἡ χρῆσις.* — V. 1. Fort. *ξυνοικιστῆρα* aut *πρώτιστον.* — V. 2. *ἔσδεξαι τεμενοῦχον* A ex corr., vulgo *ἐσδέξεται μενοῦχον.*

Fr. 168. Plut. Quaest. Symp. II 10, 1: *τὰ δὲ Πινδαρικὰ (συμπόσια) βελτίω δήπουθεν, ἐν οἷς ἥρωες ... θαμά, τῷ κοινωνεῖν ἁπάντων ἀλλήλοις.* sic Stephanus, libri *ἥρως ..., ἐμίγνυτ' ... θ' ἅμα.* Fort. *ἅμα* scribendum: tunc poterit versus ad Hymnum I referri, ut poeta de deorum et heroum commercio verba fecerit.

Fr. 169. Strabo XIV 642: *λέγει δὲ Πίνδαρος καὶ Πολύμναστόν τινα τῶν περὶ τὴν μουσικὴν ἐλλογίμων, φθέγμα κτλ.* Plut. de mus. c. 5: *τοῦ δὲ Πολυμνήστου καὶ Πίνδαρος καὶ Ἀλκμὰν οἱ τῶν μελῶν ποιηταὶ ἐμνημόνευσαν.* Ap. Strab. xz *πᾶν κοινόν*, F *κολοφανίου.* Ceterum videtur secuta esse sententia aliqua, fort. fr. 161.

170. [197.]

_ ⏑ _ ⏑ ⏑ _ ⏑ ⏑ _ ⏑ ⏑ _ ⏑

Πανδείμαντοι μὲν ὑπὲρ πόντιον Ἕλλας πόρον ἱρόν.

171. [198.]

⏑ ⏑ _ _ ⏑ ⏑ _ . . . .

Ἀ Μιδύλου δ' αὐτῷ γενεά . . . .

172. [199.]

_ ⏑ ⏑ _ ⏑ ⏑ _

Κεἴ μοί τιν' ἄνδρα τῶν θανόντων.

173. [201.]

⏑ ⏑ _ ⏑ ⏑ ⏑ _ ⏑ ⏑ _ ⏑ _ _

Αἰολεὺς ἔβαινε Δωρίαν κέλευθον ὕμνων.

174. [204.]

_ ⏑ ⏑ _ _ ⏑ ⏑

⏑ ⏑ ⏑ ⏑ _

Δελφοὶ θεμίστων [ὕμνων] μάντιες
Ἀπολλωνίδαι.

Fr. 170. Schol. Aristoph. Vesp. 306: *Νῦν πόρον τὸν πορισμόν φησι, ἐπήνεγκε δὲ τοῦτο παρὰ τὸ Πινδαρικόν· Πανδείματι* (Ven. sec. Bekker. *πανδείμαντοι*, sec. Dübnerum *πανδείματοι*) *μὲν ὑπερπόντιον Ἑλλὰς πόρον ἱερόν. ὁ Πίνδαρος τὸν πλοῦν τοῦ Ἑλλησπόντου, νῦν δὲ πορισμόν.* Rav. nihil nisi *ὑπερπόντιον Ἑλὰς πόρον*. Boeckh *ὑπὲρ πόντιον Ἕλλας* scripsit, deinde correxi *ἱρόν*. Dindorf coni. *πᾶν δείμά τοι*, Hermann ingeniose: (*γέφυραν*) *τὰν δείματο μὲν ὑπὲρ πόντιον πόρον Ἕλλας ἱερόν*. Videtur autem fr. ad *dithyrambos* pertinere.

Fr. 171. Schol. Pind. Pyth. VIII 53: *Φατρία ἐν Αἰγίνῃ Μιδυλιδῶν ἀπὸ Μιδύλου προγόνου ἐπιδόξου γεγονότος, αὐτὸς δ' ἐν ἄλλοις· ἀ Μιδύλου* (sic cod. Gott., vulgo *Μιδυλίδου* omisso articulo) *δ' αὐτῷ γέννα φησί. γενεὰ* Hermann. Fortasse rectius et hic *Μειδύλου* et in Pyth. VIII. *Μειδυλιδᾶν* scribitur.

Fr. 172. Schol. Pind. Isthm. IV inscript. loco satis impedito: *λέγει δὲ ἤδη τετελευτηκότα τὸν Πυθέαν κεἴμοι . . . θανόντων καὶ τὰ ἑξῆς.* fortasse ex Threno est fragmentum, aut ex Isthmiaca aliqua oda.

Fr. 173. Sch. Pind. Pyth. II 127: *ἐν Αἰολίδεσσι*] *Βοιωτίαις, ἐκεῖθεν γὰρ ὁ Πίνδαρος.* (*Ἄλλως*) *ἐπεὶ οἱ Αἰολεῖς κιθαρῳδοί· τὸ δὲ μέλος Αἰολικῷ ῥυθμῷ συνέταξε· τοιοῦτόν ἐστι καὶ τὸ ἑτέρωθι λεγόμενον· Αἰολεὺς κτλ.* ubi R *Δωρίας* et *ὑμνῶν*. Videtur aliquid excidisse, fort. *Αἰολεὺς τέκτων ἔβαινεν*, Hartung *ἔβαινον* scripsit.

Fr. 174. Schol. Pind. Pyth. IV 4: *Δύναται δὲ καὶ τοὺς Δελφοὺς λέγειν* (*Λατοΐδας*), *ἑτέρωθι γὰρ Ἀπολλωνίδας αὐτοὺς προσηγόρευσε· Δελφοὶ θεμιστῶν ὕμνων μάντ. Ἀ.* — *θεμίστων* scripsit Heyne deleto *ὕμνων*.

175. [205.]

. . . . . ± ∪ ∪ – ∪ ∪ – –

– ± ∪ ∪ – ± ∪ – – ± ∪ ∪ – ∪ ∪ – ± ∪ –

. . . . . *Πενταετηρὶς ἑορτά*

βουπομπός, ἐν ᾗ πρῶτον εὐνάσθην ἀγαπατὸς ὑπὸ σπαργάνοις.

176. [206.]

± ∪ – – ± ∪ – – ± ∪ ∪ – ∪ ∪ – –

± ∪ – – ± ∪ – – ± ∪ –

± ∪ – – ± ∪ ∪ –

– ± ∪ – – ± ∪ ∪ – ∪ ∪ – – ± ∪ ∪ – ∪ ∪ – – ± ∪ –

5 ± ∪ – – ± ∪ – –

Κεκρότηται χρυσέα κρηπὶς ἱεραῖσιν ἀοιδαῖς·
εἶα τειχίζωμεν ἤδη ποικίλου
κόσμον αὐδάεντα λόγων·
ὃς καὶ πολυκλειτάν περ ἐοῖσαν ὅμως Θήβαν ἔτι μᾶλλον
ἐπασκήσει θεῶν
5 *καὶ κατ' ἀνθρώπων ἀγυιάς.*

Fr. 175. Vita Pindari T. II p. 9 Boeckh (p. 97 Westermann): *Καὶ γὰρ ἐν τῇ τῶν Πυθίων ἑορτῇ ἐγεννήθη (Πίνδαρος) ὡς αὐτός φησι· Πεντα. κτλ.* et Eustath. Prooem. 27. Respicit Plut. Sympos. Qu. VIII 1, 1: *ἦκε δὲ καὶ Πίνδαρος ἐπὶ μνήμην ἐν Πυθίοις γενόμενος, πολλῶν καὶ καλῶν ὕμνων τῷ θεῷ χορηγός.* — V. 1. *ἑορτά*, cod. Vrat. *ἑορτᾶς* (*ἑορτή* a pr. m.) — V. 2. Eust. *ἐν ᾗ πρῶτος ἐβάσθην ἀγ. ἐν σπαργάνοις.*

Fr. 176. Aristid. II 509: *οὐ γὰρ δή που καὶ Πίνδαρον φήσεις ὑπ' ἐμοῦ ταῦτα ἀναπεισθέντα ἐμβαλεῖν εἰς τὴν ποίησιν τὴν ἑαυτοῦ· ἄκουε δὴ καὶ ἑτέρων· Κεκρότηται . . . λόγων. Ἡράκλεις, ταυτὶ μὲν οὐδὲ παντάπασιν ἀναίτια τοῖς ῥήμασιν, ἀλλ' ὅμως καὶ ἐπὶ τούτοις σεμνύνεται, ὡς οὐδὲν ἀτιμοτέροις τοῦ νέκταρος, καί φησιν ὅτι οὗτος μέντοι ὁ τῶν λόγων κόσμος· Καὶ πολυκλ. . . . ἀγυιάς· ὥσπερ οὐκ ἀρκοῦν εἰ κατὰ ἀνθρώπων μόνον, ἀλλὰ καὶ τοὺς θεοὺς ἔτι μειζόνως τιμήσοντας δι' ἐκεῖνον τὴν τῶν Θηβαίων πόλιν εἰς τὸ λοιπόν.* Coniunxit haec in unum Boeckh, qui v. 4 ὃς καὶ scripsit, nisi forte quaedam omissa sunt, quod Arist. indicare videtur: conieci Fr. 129 hic inserendum esse: *Μελισσοτεύκτων κηρίων ἐμὰ γλυκερώτερος ὀμφά, ἃ καὶ κτλ.* — V. 1. Respicit Plut. de prof. in virt. c. 17: *Ἀλλ' οἵ γε προκόπτοντες, οἷς ἤδη καθάπερ ἱεροῦ τινος οἰκοδομήματος καὶ βασιλικοῦ, τοῦ βίου κεκρότηται χρυσέα κρηπίς.* et de monarch. democr. et olig. c. 1 omisso auctoris nom.: *Κεκρότηται χρ. κρ. ἱεραῖσιν ἀοιδαῖς.* Lucian. Demosth. enc. c. 11: *Παρέντι δὴ τὰς Ἀθήνας ἐκδέχεται τὸν λόγον πατὴρ τριήραρχος χρυσέα κρηπὶς κατὰ Πίνδαρον.* — *ἱεραῖσιν, ἱερῆσιν Θ.* — *ἀοιδαῖς Θ* et Plut. altero loco, vulgo *ἀοιδῆς.* — V. 2. *εἶα* scripsi, *Γ εια* et supra *οι*, vulgo *οἷα.* — *τειχίζωμεν Γ*, vulgo *τειχίζομεν.* — *ποικίλου*, fort. *ποικίλων.* — V. 4. *πολυκλειτάν περ Γ, πολὺ κλειτάν περ Θ*, vulgo *πολύκλειτόν περ.* Dindorf *πολυκλείταν περ.* — Post *θεῶν* vocabulum excidisse putat Hartung, hinc Rauchenstein *θεῶν ἐν οὔδει* coniecit. Ceterum apparet ipsum hoc esse carminis initium. Hartung hymnum in Thebas fuisse parum recte censet.

177. [207.]

_ ⏑ ⏑ _ ⏑ ⏑ _ . . ⏑ ⏑ _ ⏑ ⏑ . .
⏑ ⏑ _ _ . . . . .

Εὐάρματε, χρυσοχίτων, . . ἱερώτατον . .
ἄγαλμα, Θήβα. . . . .

178. [209.]

. . . ⏑ ⏑ _ ⏑ _ ⏑ _ ⏑ ⏑ _
. . . *Λιπαρᾶν τε Θηβᾶν μέγαν σκόπελον.*

179. [210.]

⏑ _ _ ⏓ _ ⏑ . . .
Ὦ ταλαίπωροι Θῆβαι. . . .

* 180.

. . . . _ _ ⏑ ⏑ ⏓
⏑ ⏑ _ ⏑ ⏑ _ ⏑ _ _ ⏑ ⏑ _
_ ⏑ . . .

Οὗτοι με ξένον
Οὐδ' ἀδαήμονα Μοισᾶν ἐπαίδευσαν κλυταί
Θῆβαι.

Fr. 177. Schol. Pind. Pyth. IV 25: *εἰώθασι δὲ οὗτοι συμπλέκειν τὰ τῶν χωρῶν ἢ τῶν πόλεων καὶ τὰ τῶν ἡρωΐδων ὀνόματα διακοινοποιοῦντες, οἷον· Εὐάρματε χρ. ἱερώτατον ἄγ. Θ. τὸ μὲν γὰρ εὐάρματε τῆς πόλεως, τὸ δὲ χρυσοχίτων τῆς ἡρωΐδος.* Pindari esse versum ostendit Schol. Pyth. II inscript. *καταφέρεσθαι γάρ φησί πως τὸν Πίνδαρον εἰς τὸ τὰς μὲν Ἀθήνας λιπαρὰς προσαγορεύειν, τὰς δὲ Θήβας χρυσαρμάτους καὶ εὐαρμάτους καὶ λευκίππους καὶ κυανάμπυκας.* Schol. Iliad. δ 391: *ἔνθεν καὶ εὐάρμοστον* (*εὐάρματον*) *τὴν Θήβην φησὶ Πίνδαρος.* Lacunas indicavi, fort. *χώρας σ' ἱερώτατον αἰτέω*, Hartung soloece scripsit *ἱρώτατον*.

Fr. 178. Schol. Pind. Pyth. II inscript. *καὶ τὰς Θήβας δέ που εἶπε λιπαράς· λιπαρᾶν κτλ.*

Fr. 179. Thomas M. vita Pindari T. II 4 ed. Boeckh (Biographi p. 99 ed. Westerm.): *ἐχθρῶς δὲ διακειμένων τῶν Ἀθηναίων πρὸς τοὺς Θηβαίους, ἐπεὶ εἶπεν ἐν τοῖς ποιήμασιν ὡ τ α λ. Θ. καὶ μ ε γ α λ ο π ό λ ι ε ς Ἀθ ᾶ ν α ι.* Boeckhio fragmentum suspectum.

Fr. 180. Chrysippus, qui mihi videtur, *περὶ ἀποφατικῶν* c. 2 sine poetae nomine quater affert, sed Pindari esse vidit iam Letronne: scribitur *οὐδὲ ἀδαήμονα Μουσᾶν, Μοισᾶν* Schneidewin.

181. [211.]

⏑ ⏑ –́ ⏑ – ⏑ ⏑́⏑ ⏑ –
⏓ – –́ ⏑ ⏑ – ⏑ – –

Μελιγαθὲς ἀμβρόσιον ὕδωρ
Τιλφώσσας ἀπὸ καλλικράνου.

182. [213.]

–́ ⏑ – –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – –
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –

Ἔνθα βουλαὶ γερόντων καὶ νέων ἀνδρῶν ἀριστεύοισιν αἰχμαί,
καὶ χοροὶ καὶ Μοῖσα καὶ Ἀγλαΐα.

183. [214.]

⏓ – –́ ⏑ – – ⏑́⏑ ⏑ – ⏑ – –́ . . . .

Οἵτ' ἀργείλοφον παρ Ζεφυρίων κολώναν . . . .

Fr. 181. Athen. II p. 41 E: *Καὶ Πίνδαρος· Μελιγ. κτλ. κρήνη δ' ἐν Βοιωτίᾳ ἡ Τιλφῶσσα. καλλικράνου* Boeckh, v. *καλλικρήνου.* Eadem Eust. Od. 1668, 7. Ceterum ex eodem hoc carmine sunt, quae affert Strabo IX 411: *Καὶ τό γε παλαιὸν οὐκ ἦν τῆς λίμνης κοινὸν ὄνομα, ἀλλὰ καθ' ἑκάστην πρὸς αὐτῇ κατοικίαν ἐκείνης ἐπώνυμος ἐλέγετο. Κωπαΐς μὲν τῶν Κωπῶν, Ἁλιάρτιος δὲ Ἁλιάρτου, καὶ οὕτως ἐπὶ τῶν ἄλλων· ὕστερον δ' ἡ πᾶσα Κωπαΐς ἐλέχθη κατ' ἐπικράτειαν· κοιλότατον γὰρ τοῦτο τὸ χωρίον. Πίνδαρος δὲ καὶ Κηφισίδα καλεῖ ταύτην· παρατίθησι γοῦν τὴν Τιλφῶσσαν κρήνην ὑπὸ τῷ Τιλφωσσίῳ ὄρει ῥέουσαν πλησίον Ἁλιάρτου καὶ Ἀλαλκομενῶν, ἐφ' ᾗ τὸ τοῦ Τειρεσίου μνῆμα· αὐτοῦ δὲ καὶ τὸ τοῦ Τιλφωσσίου Ἀπόλλωνος ἱερόν.* cf. Steph. Byz. v. *Τέλφουσα.*

Fr. 182. Plut. vit. Lycurg. c. 21 de Sparta: *Πίνδαρος δέ φησιν· ἔνθα β. γερόντων καὶ ν. ἀ. ἀριστευόντων αἰ. καὶ χ. καὶ Μοῦσαι καὶ ἀγ.* — V. 1. *βουλαὶ μὲν* coni. Boeckh, *ἀριστεύοισιν* idem scripsit, Coraes *ἀριστεύοντι,* et *ἀριστεύουσιν* Plut. an seni resp. sit. ger. c. 10 ubi v. 1 affert: *καὶ μάλιστα σώζεται πόλις, ἔνθα β. γ. κ. ν. ἀ. ἀριστεύουσιν αἰχμαί.* — V. 2. *Μοῖσα* Boeckh. et *Μοῦσα* Plutarch. ibid. c. 6: *ὅπου καὶ θέατρα καὶ πομπαὶ καὶ νεμήσεις καὶ χοροὶ κ. Μοῦσα κ. ἀγλ.* In hoc carmine fortasse Terpandri mentionem fecit, vid. fr. 250.

Fr. 183. Schol. Pind. Ol. XI 17: *τραχεῖα δὲ εἰκότως λέγοιτο* (Locrorum Epizephyriorum urbs) *λοφώδης οὖσα καὶ ἐπιθαλασσίδιος· αὐτὸς γάρ φησιν· Οἵτ'* (om. hoc W4) *ἀργ. παρ Ζεφύροιο κολ.* ubi Va2 *ἀργίλοφον πὰρ ζεφυρίω,* Vindob. *ἀργείλοφον πανζεφυρίου,* W4 *πανζεφύριον.* Scripsi *παρ Ζεφυρίων,* Boeckh *παρ Ζεφύριον,* Heyne *παρ Ζεφυρίου.*

184. [215.]

– ⏑ ⏑ – – ⏑ ⏑ – – ⏑ ⏑ – –
⏑ ⏑ – – ⏑ ⏑ ⏑ – ⏑ ⏑ ⏒
⏔ ⏑ ⏑ – ⏔ ⏑ ⏑ – – ⏑ .....

Αἰγυπτίαν Μένδητα, παρ κρημνὸν θαλάσσας,
ἔσχατον Νείλου κέρας, αἰγιβάται
ὅθι τράγοι γυναιξὶ μίσγονται .....

185. [216.]

.....– – ⏑ ⏑ – – ⏑ ⏑ – –
..... *Λευκίππων Μυκηναίων προφᾶται.*

186. [217.]

⏑ ⏑ ⏑ – ⏑ ⏑ ⏑ – ⏑ –
⏑ ⏑ – ⏑ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ ⏑ –
⏑ ⏑ ⏑ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – ⏑ ⏑ – ⏑ ⏑ ⏑ – ⏑ ⏑ –

Ἄνδρες τινὲς ἀκκιζόμενοι Σκύθαι
νεκρὸν ἵππον στυγέοισιν λόγῳ κτάμενον ἐν φάει·
κρυφᾷ δὲ σκολιοὺς γένυσιν ἀνδέροισιν πόδας ἠδὲ κεφαλάς.

Fr. 184. Strabo XVII 802: καὶ *Μένδης, ὅπου τὸν Πᾶνα τιμῶσι καὶ τῶν ζώων τράγον· ὡς δὲ Πίνδαρός φησιν οἱ τράγοι ἐνταῦθα γυναιξὶ μίγνυνται· Μένδητα παρὰ κρ. κτλ.* (om. versus codd. EF.) Aristid. II 484: *αὐτίκα Πινδάρῳ πεποίηται, ὅσπερ μάλιστ' ἀληθείας ἀντέχεσθαι δοκεῖ τῶν ποιητῶν περὶ τὰς ἱστορίας, καὶ οὐ πόρρωθεν, ἀλλ' ἐξ αὐτῶν τῶν τόπων καὶ οὗτος ὁ ἔλεγχος· φησὶ γάρ· Αἰγυπτίαν Μένδητα παρὰ κρημνὸν θαλάσσας. καίτοι οὔτε κρημνός ἐστιν οὐδεὶς ἐκεῖ οὔτε θάλαττα προσηχεῖ, ἀλλ' ἐν πεδίῳ πολλῷ καὶ κεχυμένῳ κτλ.* Respicit Aelian. Hist. An. VII 19 *οὗτοι μὲν καὶ ὁμιλεῖν γυναιξί φασιν αὐτούς* (hircos) *καὶ ἔοικεν αὐτὸ θαυμάζειν Πίνδαρος.* — V. 1. *Μένδητα* cf. Prisc. VI, 60: „*Μένδης, Μένδητος*, nomen urbis est Aegyptiacae, cuius mentionem Pindarus facit.“ *παρ* Boeckh, vulgo *παρά. κρημνὸν* cf. Schol. Aeschyli Choeph. 362: *ἡ γνάθος συνήθης, ὡς καὶ ὁ κρημνὸς παρὰ Πινδάρῳ καὶ ἡ ἠχὼ παρὰ Σιμωνίδῃ.* — *θαλάσσας*, Str. *θαλάσσης*, — V. 2. *αἰγιβάται* Hermann, vulgo *αἰγίβοτοι*, moz *αἰγίβοτον*. — V. 3. *ὅθι*, fort. *τόθι* hoc numero: *αἰγιβάται τόθι τράγοι | γυναιξὶ μίσγονται.* Hartung haec ad hymnum in Iovem Ammonem refert.

Fr. 185. Sch. Pind. Pyth. IV 206: *εὐεπιφόρως δὲ ὁ Πίνδαρος λευκίππους καλεῖ αὐτούς* (hoc corruptum)*· λευκ. κτλ.*

Fr. 186. Zenobius V 59: *Ὁ Σκύθης τὸν ἵππον· ἐπὶ τῶν κρύφα τινὸς ἐφιεμένων, φανερῶς δὲ ἀπωθουμένων καὶ διαπτυόντων αὐτὸ εἴρηται ἡ παροιμία· μαρτυρεῖ δὲ καὶ Πίνδαρος λέγων· Ἄνδρες τινὲς ἀγαζόμενοι Σκ. ν. ἵπ. στυγέουσι λ. κτ. ἐν φασί· κρύφα δὲ σκ. γ. ἀναδέρουσι πόδας ἠδὲ κεφαλάς.* Diogenian. VII 12, Apostol. XIII 7, Arsen. 389 nihil nisi haec exhibent *Ἀτιζόμενοι* (*ἀτυζ.* Apost. Ars.) *Σκ. ν. ἵπ. λ. κρύφα δὲ σκολιοῖς γάννσιν* (*γάννυσιν* Apost. Ars.) *ἀναδέρουσι πόδας.* Heyne correxit *ἐν φάει*, reliqua emendavit Boeckh. — V. 3. *κρυφᾷ* scripsi, legebatur *κρυφᾶ*. — *κεφαλάς*, fort. *κεφαλάν*.

187. [218.]

Καὶ λιπαρῷ Σμυρναίῳ ἄστει.

188. [221.]

⏑ – ⏑ ⏑ – ⏑ ⏑ – – ⏑ ⏑ – ⏑ ⏑ – – ⏑ ⏑ –
⏑ ⏑ – – ⏑ ⏑ – – ⏑ . . .

Ἀρχὰ μεγάλας ἀρετᾶς, ὤνασσ' Ἀλάθεια, μὴ παίσῃς ἐμάν
σύνθεσιν τραχεῖ ποτὶ ψεύδει . . .

189.

– ⏑ ⏑ – –

Οὐ ψεῦδος ἐρίξω.

190. [222.]

⏑ ⏑ ⏑ ⏑ ⏑ – ⏑ – ⏑ – –

Παρὰ Λύδιον ἅρμα πεζὸς οἰχνέων.

Fr. 187. Schol. Pind. Pyth. II inscript. *καὶ γὰρ καὶ ἄλλας πλείους (πόλεις) λιπαρὰς καλεῖ, ὥσπερ τὴν Σμύρναν· καὶ λιπ. Σ. ἄ. Σμυρναίων* coni. Boeckh. sed poterat a voce *ἄστει* (*ἄστεϊ*) novus versus inchoari. Ceterum Pindari fortasse est, quod Aristides Or. XV T. I 373 affert: *ἀπέλαυσαν δὲ* (Smyrnaei) *τῆς μητροπόλεως* (Athenas dicit) *ἀμφότερα, ἀβρότητας μὲν εἰς τὸ καθ' ἡμέραν, τολμήματα δὲ εἰς τοὺς πολέμους κρεῖττον ἢ πολλοῖς ἐρίσαι λυσιτελεῖν, ὥστε καὶ τῶν ποιητῶν ἤδη τισὶ Σμυρναῖον τρόπον τὸ τοιοῦτον εἰρῆσθαι.* Igitur *Σμυρναῖον τρόπον* dictum de iis qui fortissime pugnantes adversarios penitus afflixerunt, estque ex eodem loco haud dubie etiam petitum quod praecedit *κρεῖσσον ἢ πολλοῖς ἐρίσαι λυσιτελεῖν*, quae paululum immutavit rhetor. Similiter eodem loco cum dicit *οἱ ποιηταὶ λέγουσιν* vel *καλοῦσιν*, respicit Pind. Ol. I 38 et Pyth. III. 43.

Fr. 188. Stob. Flor. XI 3: *Πινδάρου· Ἀρχὰς μεγάλας ἀρετᾶς ἄνασσ'* (*ὤνασσ'* A Voss. Vind.) *κτλ.* Io. Philop. de mundi creat. IV 20: *ἀλλὰ καὶ Πίνδαρος τῆς ἀρετῆς ἀρχὴν εἶναί φησι τὴν ἀλήθειαν, οὕτω λέγων· Ἀρχὰς μεγάλας . . . παίσῃς τραχεῖ ποτὲ ψεύδει.* Sed Clem. Alex. VI 781 sine poetae n. *Ἀρχὰ μεγάλας ἀρ. ἄνασσ' ἀλήθεια.* et Plut. vit. Marii c. 29: *βέβαιον ἄνδρα καὶ τὴν ἀλήθειαν ἀρχὴν μεγάλης ἀρετῆς κατὰ Πίνδαρον ἡγούμενον.*

Fr. 189. Eustath. Prooem. 21: *τὸ μέντοι ἐρίξαι ἤγουν εἰς ἔριν κινῆσαι, οἷον· οὐ ψεῦδος ἐρίξω, ἤγουν οὐ πρὸς ψεῦδος φιλονεικήσω, οὐχ οὕτως ἀσαφές.*

Fr. 190. Plut. vit. Nic. c. 1: *οὐ μὰ Δία παρὰ Λύδιον ἅ. π. οἰχνεύων* (ita Bc, vulgo *ἰχνεύων*) *ὡς φησι Πίνδαρος.* et de discr. adul. et amici c. 35 ubi *ἰχνεύων* legitur. Scripsi *οἰχνέων*. Ceterum cf. Diogenian. VI 28, Gregor. Cypr. II 99, Apostol. XII 38, Arsen. 340, Gregor. Naz. Or. XX p. 331: *εἰ καὶ πεζοὶ παρὰ Λύδιον ἅρμα ἐθέομεν τὸν ἐκείνου τρόπον καὶ δρόμον.*

191. [223.]

⏑́ ⏑ – – ⏑́ ⏑ – – ⏑́⏑ ⏑ – – ⏑́ ⏑ – [– ⏑́] ⏑ – ⏑̄

Ταρτάρου πυθμὴν πιέζει σ' ἀφανέος σφυρηλάτοις . . ἀνάγκαις.

192. [224.]

⏑ ⏑ ⏑́ ⏑ ⏑ – ⏑ ⏑́ ⏑ ⏑ –

– ⏑́ ⏑ ⏑ – ⏑ –

Μανίαις τ' ἀλαλαῖς τ' ὀρινόμενοι
ῥιψαύχενι σὺν κλόνῳ.

193. [227.]

[⏑́] ⏑ ⏑ – ⏑ ⏑ – – ⏑́ ⏑ –

Ἀτελῆ σοφίας καρπὸν δρέπειν.

194. [229.]

Plut. de cohib. ira c. 8: *Χαλεπώτατοι δὲ ἄγαν φιλοτιμίαν μνώμενοι ἐν πόλεσιν* (Hartung *πολίεσσιν*) *ἄνδρες ἢ στάσιν, ἄλγος ἐμφανές, κατὰ Πίνδαρον.* ubi Schneidewin scripsit *ἄνδρες ἔστασαν ἄλ. ἐμ.*

195. [230.]

⏑ ⏑́ ⏑ ⏑ – – ⏑́ ⏑ ⏑ –

⏑́ ⏑

Κακόφρονά τ' ἀμφάνῃ πραπίδων
καρπόν.

Fr. 191. Plut. Consol. ad Apoll. c. 6: *ἀλλὰ Ταρτάρου πυθμὴν πιέζει σ'* (ita B, vulgo *πυθμένα πιέζεις*) *ἀφανοῦς σφυρηλάτοις ἀνάγκαις, ὥς φησι Πίνδαρος. πιέσει* Boeckh scripsit, Hermann praeterea coniecit *ἀφανής*, ego vero *πιέζει σ' ἀφανέος* scripsi, deinde autem suspicor legendum *σφυρηλάτοις δεσμοῖς ἀνάγκας.*

Fr. 192. Plut. Quaest. Symp. VII 5, 4 sine poetae n.: *οὕτως ἡμεῖς ἐν τοῖς τοιούτοις τερετίσμασι καὶ σκιρτήμασι μανίαις τ' ἀλαλαῖς τ' ὀρινόμενοι ῥ. σ. κλ.* Contra ibid. I 5, 2: *μανίαι τε ἀλαλαί τε ὀρινομένων ἐριαύχενι σὺν κλόνῳ κατὰ Πίνδαρον.* ubi scrib. *μανίᾳ τ' ἀλαλᾷ τ' ὀρινομένων*, quae suae accommodavit orationi. Denique de def. orac. c. 14: *μανίαι τε ἄλλαι τε ὀρινόμεναι ῥ. σ. κλ.* legitur. Videntur versus ad libros *Ὑπορχημάτων* pertinere, ut Boeckh quoque suspicatur.

Fr. 193. Stob. Flor. LXXX 4: *Πινδάρου· Τοὺς φυσιολογοῦντας ἔφη Πίνδαρος· ἀτελῆ κτλ.* Cf. Eust. Prooem. 33. Pindari Apophth. T. II p. 10 ed. Boeckh, neque tamen dubitandum, quin hoc ex carmine aliquo petitum sit. Respicit etiam Plato Republ. V p. 457 B.

Fr. 195. Plut. de sera Num. vind. c. 19: *ἄχρις ἂν ἐκχυθεῖσα* (*κακία*) *τοῖς πάθεσιν ἐμφανὴς γένηται, κακόφρονά τ' ἀμφάνῃ* (sic Ruhnken, v.

196. [231.]

Plut. de cap. ex host. util. c. 10: *Καὶ πᾶσα φύσις ἀνθρώπου φέρει φιλονεικίαν καὶ ζηλοτυπίαν καὶ φθόνον κενεοφρόνων ἑταῖρον* (ita Xylander, ἑταίραν B, vulgo ἑταίρων) *ἀνδρῶν ὥς φησι Πίνδαρος.*

197. [232.]

⏑ ⏑ ⏓ ⏑ – ⏓ ⏑ – ⏑ ⏔
⏓ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏔
⏑ ⏓ ⏑ ⏑ – ⏑ ⏑ – –
⏑ ⏑ ⏓ ⏑ ⏑ – ⏑ – ⏑ – –

Πότερον δίκᾳ τεῖχος ὕψιον
ἢ σκολιαῖς ἀπάταις ἀναβαίνει
ἐπιχθόνιον γένος ἀνδρῶν,
δίχα μοι νόος ἀτρέκειαν εἰπεῖν.

198. [233.]

⏑ ⏓ ⏑ – ⏓ ⏑ – ⏑ – ⏓ ⏑ – ⏓ ⏑ – ⏑ ⏑ – ⏔
⏓ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏓ ⏑ – ⏑ ⏑ – – ⏓ ⏑ – ⏒

τὸν ἀμφανῆ, Ven. *τ' ἐκφανεῖ*), *πρ. κ. ὥς φησι Πίνδαρος.* Hartung *κακοφρόνα* i. e. *κακοφροσύνα.*

Fr. 197. Plato de Republ. II 365 B (loco, ubi etiam alia si non ex Pindaro, certe ex poetis petita sunt, ut *θεσπέσιος βίος*, *κύριον* (*ἄκρον*) *εὐδαιμονίας.*): *λέγοι γὰρ ἂν ἐκ τῶν εἰκότων πρὸς αὐτὸν κατὰ Πίνδαρον ἐκεῖνο τὸ Πότερον δίκᾳ* (codd. plerique *δίκαι*, Vind. D *δεῖ καὶ*, Vind. F *δὴ καὶ*, Ang. B Flor. RT *δίκαις*, Lob. Vind. B. Vat. M. *δίκαιον*, vulgo *δίκᾳ* ut Vat. B Ven. B Flor. B) *τ. ὕψιον* (*ὑψηλὸν* Vind. F Ang. B Flor. ACR). *ἢ σκολιαῖς ἀπάταις* (ita codd. plerique, vulgo *σκολιᾶς ἀπάτας*, quod exhibent Vat. B Ven. B Flor. B, *σκολιᾶς ἀπάταις* Ang. B a m. pr.) *ἀναβάς, καὶ ἐμαυτὸν οὕτω περιφράξας διαβιῶ.* Plenius extat apud Maxim. Tyr. XVIII init.: *Π. δίκᾳ* (cod. Reg. *δίκα*, vulgo *δίκας*) *τ. ὑ. ἢ σκολιαῖς ἀπάταις* (vulgo *σκολιᾶς ἀπάτας*) *ἀναβαίνει ἐπιχθόνιον γ. ἀνθρώπων δίχα μοι ν. ἀτρέκειαν* (cod. Reg. *ἀτρεκίαν*) *εἰπεῖν.* Atticus Platonic. ap. Euseb. Praep. Ev. XV 797 D: *εἴγε μὴ μέλλοιμεν ἀγνοεῖν, πότερον δίκᾳ τεῖχος* (vulgo *δὴ κατ' ἴχνος*, cod Scor. *δεῖ κατ' ἴχνος ἴψιον*) *ὕψιον ἢ σκολιαῖς ἀπάταις ἀναβαίνει ἐπιχθονίων γένος ἀνδρῶν.* Cicero ad Attic. XIII 38: „Nunc me iuva, mi Attice, consilio, *πότερον δίκας τ. ὑ.* id est aperte hominem asperner et respuam, *ἢ σκολιαῖς ἀπάταις* (sic XZR, et similiter rursus lib. XIII 41, sed M *σκολιᾶς ἀπάτας*), ut enim Pindaro, sic *δίχα μοι νόος ἀτρέκειαν εἰπεῖν.*" V. 4. utitur sine auctoris nomine Dionys. Halic. de comp. verb. c. 21. Hartung haec ita constituit: *πότερον δίκας τεῖχος ὕψιον, ἢ σκολιᾶς ἀπάτας, ἀναβαίνειν ἐπ' ἐπιχθόνιον κτλ.*

Fr. 198. Plato de Rep. I 331 A: *τῷ δὲ μηδὲν ἑαυτῷ ἄδικον ξυνειδότι ἡδεῖα ἐλπὶς ἀεὶ πάρεστι καὶ ἀγαθὴ γηροτρόφος, ὡς καὶ Πίνδαρος λέγει· χαριέντως γάρ τοι, ὦ Σώκρατες, τοῦτ' ἐκεῖνος εἶπεν, ὅτι ὃς ἂν δικαίως καὶ ὁσίως τὸν βίον διαγάγῃ, γλυκεῖά οἱ ἀτάλλοισα* (*ἀττάλοισα* Par. BK Flor. B, *ἀτάλλουσα* Vind. F Ang. B Flor. ACR) *γηρ. συναορεῖ* (*ξυναορεῖ* Vind. B, *ξυναγορεῖ* Vind. E) *ἐλπίς, ἃ μ. θνατῶν π. γ. κυβερνᾷ*

Γλυκεῖά οἱ καρδίαν ἀτάλλοισα γηροτρόφος συναορεῖ ἐλπίς, ἃ μάλιστα θνατῶν πολύστροφον γνώμαν κυβερνᾷ.

199.

⏑ – ⏑ ⏑ – – ⏑ – –

Ἐλπίσιν ἀθανάταις ἁρμῷ φέρονται.

200. [152.]

⏑ – – ⏑ – ⏑ – ⏑ – – ⏑ –

⏑ ⏑ – . . . .

Ἄλλο δ' ἄλλοισιν νόμισμα, σφετέραν δ' αἰνεῖ δίκαν ἕκαστος.

201. [235.]

– ⏑ – – ⏑ – ⏑ – ⏑ – – ⏑ – –

Σοφοὶ δὲ καὶ τὸ μηδὲν ἄγαν ἔπος αἴνησαν περισσῶς.

(*κυβερνᾶν* Ven. C) quae exscripsit Stob. Flor. XCIV 22. Exhibent etiam Synesius de insomn. 147 A: *ὥστε ἦν ὕμνησε τὴν ἐλπίδα ὁ Πίνδαρος, περὶ ἀνδρὸς λέγων εὐδαίμονος, ὅτι ἄρα αὐτῷ γλυκεῖα καρδίαν ἀτάλλοισα κουροτρόφος συναορεῖ . . . κυβερνᾷ φαίη τις ἂν οὐ περὶ τῆς ὕπαρ λέγεσθαι, τῆς ἀπατηλῆς, ἣν ἡμεῖς ἑαυτοῖς διαπλάττομεν, ἀλλ' ὅλον τοῦτο μικροῦ μέρους ἐννυπνίων ἔπαινος εἴρηται τῷ Πινδάρῳ* et Nicephorus in Scholiis ad Syn. 408, qui coniectura ad Nemea retulit (*ζήτει ἐν τοῖς ἀγῶσι τῶν Νεμέων*, ita cod. Rhedig.), qui ex Platone lectionem *γηροτρόφος* memorat, et Iustinus Coh. ad Gent. p. 26. Respiciunt huc Plut. de animi tranq. c. 19, de fraterno am. c. 5, Themist. VIII 101 B, Theodor. Metoch. p. 350 (ubi *ξυναορεῖ*) et 659, Nicephor. Greg. VIII 8 (ubi non male *τὰν πολυστρ.*) Choricius p. 35 ed. Boisson. Olymp. in Alcib. I p. 23 Apostol. V 52 a.

Fr. 199. Eust. prooem. 21: *Μάλιστα δὲ ἄτριπτον εἰς συνήθη γνῶσιν τὸ ἁρμῷ, ἤγουν ἅρτι, ὃ παρ' ἑτέροις ἁρμοῖ λέγεται . . . Ἐλπίσιν κτλ.*

Fr. 200. Cram. An. Par. III 154, 13: *Καὶ Πίνδαρος· ἄλλο δ' . . . αἰνεῖ δ. ἔκ. τὸ γὰρ θεῖον φύσει μὲν ἕν, θέσει δὲ πολύ.* Matranga An. 475. *ἄλλοι δ' ἄλλοισι νόμιμα κτλ.* Respicit Artemidor Oneir. IV 2: *ἄλλα δὲ ἄλλοις νόμιμα, σφέτερα δέδεικται ἑκάστοις, φησὶν ὁ Πίνδαρος.* unde Schneider *δὲ κεῖται* coniecit. — V. 1. *αἰνεῖ*, Schneidewin *αἰνέσει*. Videtur scribendum *σφετέραν δὲ δίκαν ἕκαστος αἰνεῖ*, ut omnia uno versu comprehendantur.

Fr. 201. Plut. consol. ad Apoll. c. 28: *ὁ δὲ Πίνδαρος, σοφοὶ δέ, φησίν, καὶ τὸ μηδὲν κτλ.* Scholiast. Eurip. Hipp. 263: *μάρτυρες ἔσονται οἱ σοφοί, εἴπερ ἑνὸς τῶν ἑπτὰ σοφῶν ἐστιν ἀπόφθεγμα τὸ μηδὲν ἄγαν, ὃ περ Χίλωνι ἀνατιθέασιν ὡς Κριτίας καὶ Πίνδαρος· Σοφοὶ . . . ἤνησαν περ.* et Hephaestio 91 omisso auctoris nomine, sed ut exemplum metri Pindarici. Ceterum Hartung *αἴνεσαν* flagitat.

202. [237.]

⏑ ⏑ ⏓ ⏑ ⏑ – ⏑ – ⏑ ⏓ ⏑ ⏒

Γλυκύ τι κλεπτόμενον μέλημα Κύπριδος.

203. [239.]

⏓ ⏑ – – ⏓ ⏑ ⏑ – ⏑ ⏑ – – ⏓ ⏑ – –

⏓ ⏑ – – ⏓ ⏑ ⏑ – ⏓ ⏑ – – ⏓ ⏑ – –

⏓ ⏑ ⏑ – ⏑ ⏑ – – ⏓ ⏑ – –

⏓ ⏑ – – ⏓ ⏑ ⏑ – ⏑ ⏑ – – ⏓ ⏑ – ⏒

* * * * * * * *

5 . . . . . ⏑ – – ⏓ ⏑ ⏑ – ⏑ ⏑ – – ⏓ ⏑ – ⏒

Ἀνίκ' ἀνθρώπων καματώδεες οἴχονται μέριμναι
στηθέων ἔξω, πελάγει δ' ἐν πολυχρύσοιο πλούτου
πάντες ἴσα πλέομεν ψευδῆ πρὸς ἀκτάν·
ὅς μὲν ἀχρήμων, ἀφνεὸς τότε, τοὶ δ' αὖ πλουτέοντες
* * * * * * * *
. . . . . *ἀέξονται φρένας ἀμπελίνοις τόξοις δαμέντες.*

204. [240.]

. . . – – ⏓ ⏑ – – ⏓ . . .

Οἳ δ' ἄφνει πεποίθασιν.

Fr. 202. Clem. Alex. Paedag. III 295: *Ἐντεῦθεν ὠφελημένος ὁ Βοιώτιος Πίνδαρος· Γλυκύ τι, φησί, κλεπ. μ. Κ.*

